πράξεσιν αἰθερίαις τε, καὶ ὑψηλαῖς, καὶ θείαις,
πανεύφημος, πανένδοξος, τῶν πάντων εὐεργέτης,
καὶ ὡς ριζόθεν ἐκτεμεῖς γενναίως καὶ προθύμως,
πράξεις αἰσχρὰς, καὶ ρυπαρὰς, καὶ πᾶσαν ἀδικίαν,
δόγματα τὰ ἀλλότρια τῆς φαύλης δυσσεβείας,
ἀποδιοπομπούμενος, ὡς ὄχεων ἀγέλας·
καὶ κυβερνήσεις ἐμμελῶς τῶν εὐσεβῶν τὰ στίφη,
ὡς ἱμερόεις, ὡς λαμπρὸς βλαστὸς τῶν ἡγεμόνων,
κλάδος πανευθαλλέστατος ἐξ ἀγαθῆς τῆς ῥίζης,
τῆς εὐσεβείας ἄγαλμα, ἀστὴρ δικαιοσύνης
παμφαεστάτη ἡ ἀκτὶς ἡλίου τοῦ πανσόφου,
τοῦ Νικολάου τοῦ κλεινοῦ, τοῦ πρώην ἡγεμόνος,
ἀνθ' ὧν ὁ μέγας ἥλιος ὁ τῆς δικαιοσύνης,
Θεὸς, ἡ πάντων τῶν καλῶν πρωταίτιος αἰτία,
ὕψωσεν, ἀνεβίβασεν εἰς θρόνον τῆς Βλαχίας,
σὲ τὸν πανευσεβέστατον υἱὸν τῆς εὐλογίας,
ἵλεων, εὐμενέστατον, χαρίεντα, καὶ πρᾶον,
τὴν πατρικὴν δικαίως σοι παρέσχε λαμπρυγίαν,
δικαιοσύνης τῆς σεπτῆς ὡς πέλων ἡ ἀκρότης,
τοὺς ἀντιπάλους ἅπαντας, καὶ τοὺς ὑπεναντίους
κατατροπώσας εὐζθενῶς ὑπὸ ποσί σου κράτος·
ὅστις ὡς πέφυκε δοτὴρ τῆς σῆς ἡγεμονίας,
ζυγοῖς δικαιοσύνης τε παρέσχε σοι τὸ κράτος,
οὕτω διαφυλάξοι σε πανεύτυχον καὶ σῶον,
ἐν τῷ ὑψίστῳ καὶ λαμπρῷ Οὐγγροβλαχίας θρόνῳ,
τῶν ἐναντίων νικητὴν, καὶ ἐνδρῶν τῶν τούτων,
ἐν παμπληθέσιν ἔτεσιν, ἐν κύκλοις πολλῶν χρόνων,
ὡς Ἡρακλέους μιμητὴν κατὰ τῆς ἀδικίας,
ἢ μᾶλλον χριστομίμητον ἐν τοῖς δικαίοις ἔργοις,
ἀνατροπέα τῶν δεινῶν, καὶ φαύλης πολιτείας,
ἵνα τοὺς λύκους τοὺς δεινοὺς ὀλέσῃς κατὰ κράτος,
καὶ σὺν αὐτοῖς ἀγεληδὸν πᾶν εἶδος αἰσχρουργίας·
καὶ ὡς ποιμὴν πανάριστος, θεοσεβὴς, καὶ θεῖος,
τὴν θείαν ποίμνην τοῦ Χριστοῦ, τῶν εὐσεβῶν τὰ πλήθη,
εἰσάξῃς πρὸς πανάριστον νομὴν εὐθυδικίας,
ἀπαλλαγῆς τε τῶν χρεῶν, καὶ μεγαλοδωρίας·
ὁ δὲ Παντάναξ ὁ Θεὸς Παμβασιλεὺς καὶ πλάστης,
κρατήνοι, στερεώσειε τὴν σὴν ἡγεμονίαν
εἰς παμπληθεῖς λυκάβαντας, ἐν κύκλοις πολλῶν
χρόνων
πανευτυχῆ, εὐδαίμονα, ἀκράδαντον, καὶ
θείαν. 58 [148])

Τοῦ αὐτοῦ εἰς τὸν Ἄρχοντα Καμαράσιν
Ἰωάννην.

Δέχου πανένδοξε ἀνδρῶν Σκαρλάτε Ἰωάννη,
ἀρχιταμία φίλτατε, καὶ κηδεστὰ οἰκεῖε
τοῦ σοφωτάτου κρατίστου αὐθέντου Νικολάου,
τό δε τὸ πονημάτιον, ἀναγραμματισμόν μοι
τοῦ σοῦ σεμνοῦ ὀνόματος εἰς μνήμην αἰωνία.
(ἀρχιταμίας, καμαράσης, κηδεστὴς, γαμβρὸς).

Ἴν' ἄνω ᾖς.

Ἴν' ἄνω ᾖς παρὰ Θεοῦ τιμαῖς τε καὶ ἀξίαις,
ἵνα τερφθῇς ἐν οὐρανῷ ὁμοῦ μετὰ δικαίου,
ὑπὸ Θεοῦ τετίμισας, καὶ δόξης ἀπολαύεις,
καὶ ἀπολαύσεις ἐς ἀεὶ ἀπείρονας εἰς χρόνους.

Σὴν ναίω.

Σὴν ναίω χάριν ἔνδοξε, καὶ δαψιλῶς λαμβάνω
τὰς χάριτας ἑκάστοτε σὺν πλείστοις ὁμοῦ ἄλλοις·
χαριτοβρύτην, χαριστὴν, καὶ μέγαν δωροδότην
πεποίηκέ σε ὁ Θεὸς, ὁ κηδεμὼν ἁπάντων.

Νῷ ἂν ἴῃς.

Νῷ, καὶ φρονήσει ἀκριβεῖ, καὶ λίαν ἐχεφρόνως
πορεύῃ ἂν τὸ στάδιον τὸ τοῦ παρόντος βίου.
ἐμμένων ἀμετράτεπτος τοῖς ἀγαθοῖς, οἷς ἔχεις,
καὶ προστιθεὶς ἄλλ' ἀγαθὰ ἐπὶ τοῖς προλαβοῦσι.

Νῷ ναίῃς.

Σὺν νῷ οἰκήσιας ἀεὶ σὺν νῷ γε καὶ διάξεις,
ὅποι περ ἂν σὺ πορευθῇς, ὑπάρχων ἐστεμμένος
ταῖς χάρισι, ταῖς δωρεαῖς, καὶ ταῖς εὐεργεσίαις,
αἷς καθ' ἑκάστην κέχρησαι, εὐεργετῶν τοὺς πάντας.

Σιὼν νῆα.

Ὡς τινας νῆα ἀρετὰς ὀχούμενος, ἐντεῦθεν
πρὸς τὴν Σιὼν ἀνάδραμε τὴν ἄνω, τὴν ἐν πόλῳ.

Σαίνων ᾖ.

Σαίνων, περιποιούμενος τοὺς ἅπαντας ὑπάρξει
ὁ Ἰωάννης ὁ κλεινὸς, τῶν εὐγενῶν ἡ δόξα.

Αἴνων ᾖς.

Ἀεὶ ἐπαίνων, καὶ τιμῶν, ταῖς ἀγαθοεργίαις
ὑπάρχεις ἀξιούμενος, ὡς τὰ ἐπαίνου πράττων.

Ναῶν ἴς ᾖ.

Υἱός τε χαριτόκομος, υἱὸς τῆς εὐσεβείας,
δύναμις πάντως πέφυκε Ναῶν τῶν σεβασμίων.

Ἄνω ἴσην.

Ἄνω πορείαν τὴν στενὴν, ἴσιν ἀπαραβάτως
ἀδεῶς τρέχεις, ἐντελῶς, τὰς ἐνδολὰς φυλάττων.

Ἴσην νάω.

Ἴσην δικαίαν τὴν ὁδὸν τοῦ βίου διατρέχων,
ἴσην καὶ τὴν πρὸς οὐρανόν, φησὶν, ἐγὼ ἀνέλθω.

Ἴσην ὦαν.

Δικαίως ταύτην τὴν ζωὴν τὴν κάτω κεκτημένος,
δικαίως πρὸς οὐράνιον λειμῶνα κατοικήσεις.

Ἄσων ἠνί.

Ἰδοὺ κἀγὼ σὺν ἅπασιν, ὁρῶν τὰς εὐποιΐας,
αἰνέσω προτεθύμημαι τὸν μέγαν Ἰωάννην.

Ἄσων νηΐ.

Πᾶς τις ἐνωτιζόμενος τὰς πράξεις τὰς ἐνθέους,
καὶ ἐν νηὶ προσέρχεται ἰδεῖν, καὶ ἐπαινέσαι.

Ἅ ὤνησιν.

Βαβαὶ μεγίστην ὤνησιν πολλῶν πτωχῶν, καὶ δούλων
τὸν δὲ Θεὸς ἐξέπεμψε, τῶν εὐγενῶν τὸ κλέος.

Ἰωνᾶς ἦν.

Καὶ ἦν, καὶ ἔσται ἐς ἀεὶ πλήρης τοῦ Θείου ζήλου,
πανευλαβὴς, πανευσεβὴς, ὡς Ἰωνᾶς ὁ Θεῖος.

Ἀΐων νῆς.

Ἀκούων σὺ τῶν ἐντολῶν, φωνῶν τε τῶν πενήτων
πλεύσεις καλῶς, καὶ εὐσταλῶς εἰς οὐρανοῦ λιμένα.

Ἴσα νηῶν.

Τὰ ἴσα δικαιώματα Ναῶν τῶν τοῦ Κυρίου
ἐς σὴν ψυχὴν συνήθροισας πολλῇ τῇ δαψιλείᾳ.

Ἀΐων σήν.

Ἀκούων ἕκαστος τὴν σὴν μεγίστην προστασίαν,
καὶ δαψιλῆ τὸν ἔλαιον, προσέρχεται προθύμως.

Ἄνω ἶς ἦν.

Ἄνω ὑπάρχων τῇ τιμῇ, ἄνω καὶ τῇ ἀξίᾳ,
ἀνώτατος, καὶ δύναμις τοῖς ἔργοις ἐγεγόνει.

Νησῶν Ἰα.

Ἰα τὰ κατορθώματα πανεύοσμα τυγχάνει
νησῶν, καὶ χέρσου, καὶ παντὸς τοῦ περιγείου κόσμου.

Ἰάσων ἦν.

Ἰάσων παναλκέστατος, ὁ νοητὸς καὶ Θεῖος
Αἰήτην τὸν πολέμιον ὀλέσας κατὰ κράτος

Ἴων ἧς ἄν.

Τῶν Ἰων εὐσμώτερος, καὶ πάντων τῶν ἀνθέων
ταῖς αἰθερίαις πράξεσι τυγχάνεις παραδόξως.

Σάων ἠνί.

Ἰδοὺ τελέθεις ἀγαθὸς, τοῖς πλείστοις εὐεργέτης,
σώζων, φυλάττων, εὐποιῶν, ἀόκνως περισκέπων.

Ἂν νῆς Ἰω.

Ἕκαστος ἐκκηλούμενος ταῖς ἀγαθοεργίαις,
ἔφησεν ἂν πανευμενῶς, ὅπη περ ἂν ἀπίῃς,
κἀγὼ σὺν σοὶ πορεύσομαι, κράτιστε εὐεργέτα.

Ναίω ἧς.

Ὡς ἄριστος, ὡς δίκαιος, οἰκήσαις ἂν εἰρήνῃ,
τοῖς πᾶσιν ἀγαπώμενος, ἀπόβλεπτος τοῖς πᾶσι.

Νάων ἴης.

Ταῖς παναρίστοις πράξεσιν οἰκήσιον ἀπελεύσῃ
μετὰ τοῦ βίου στάδιον ἐς οὐρανοῦ παστάδα.

Ἂν αἰνῆς.

Ὑπάρχων εὐμενέστατος, πραότατος, ἡ δύς τε
αἰνέσεως, φιλήσεως τοὺς σοὶ οἰκειωθέντας.

Σιὼν ὠνῇ.

Εὐχαῖς, καὶ πίστει εὐσεβεῖ, καὶ πράξεσιν ἐνθέοις
ὠνεῖται εὐμαρέστατα Σιὼν τὴν οὐρανίαν.

Σινᾶ Νηῷ.

Μεγίστην τὴν εὐλάβειαν προσφέρει Θαυμασίως
ἐν τῷ Ναῷ τῷ τοῦ Σινᾶ, ὡς ὄντι ἐν τῷ ὄρει,
ἐν ᾧ Θεὸς ἐτέλεσε παράδοξα Θαυμάτων.

Σιὼν ἂν ἧ.

Σιὼν ἂν ὀνομάζοιτο ψυχὴ ἡ τρισολβία
τοῦδε τοῦ τρισευδαίμονος Σκαρλάτου Ἰωάννου,
ὡς οὖσα οἰκητήριον Θεοῦ τοῦ παμμεγίστου.
Ναὸς γὰρ πέλεται Θεοῦ ὁ ἀρετὴ συζήσας.

Ἀνίυς ὤν.

Τῆς λύπης δὲ γενόμενος θανάτῳ τῆς συνεύνου,
χαρᾶς ἀπείρου ἔμπλεως μετέπειτα γενήσῃ·
ἢ τοὺς ἀνίης τῆς πικρᾶς τῇ τύχῃ γεγονότας
χαροποιῶν, καὶ κυβερνῶν, εἰ ταύτης καθαιρέτης.

Ἰάσῃ νῶν.

Τὰς ἀθυμίας τὰς πικρὰς, ἐλλείματα, καὶ τύχας
ἡμῶν ἰάσῃ ἔνδοξε συχναῖς εὐεργεσίαις.

Ἰῶν ἂν ἧς.

Μόνος ἂν ἧς ἀνάπλεως παντοδαπῶν χαρίτων,
ὡς μόνος τὰ τῆς χάριτος ἀεὶ τελῶν ἐκθύμως.
Πρὸς τούτοις ἐπταγραμμάτων τὸ ὄνομα τυγχάνει
σοῦ τοῦ ἐνδόξου καὶ κλεινοῦ, ὡς πᾶσι καθορᾶται.
Μυστηριώδης ἀριθμὸς ὁ τοῦ Ἑπτὰ τυγχάνει
ἀνθ' ὅτου καὶ ἐξύμνηται ἀνδράσι τοῖς πανσόφοις.
Ἑπτὰ γὰρ καθεστήκασι τοῦ οὐρανοῦ Πλανῆται.
Ἑπτὰ δὲ κλίμασι ἡ γῆ διήρηται ἐντέχνως.
Ἑπτὰ τὰ αἰσθητήρια τυγχάνουσιν ἀνθρώπου.
Ἑπτὰ δὲ καθεστήκασι καὶ πᾶσαι αἱ κινήσεις.
Ἑπτὰ καὶ τὰ φωνήεντα ὑπάρχει τῶν γραμμάτων.
Ἑπτὰ δὲ καὶ τὰ μόρια, ἐπίτασιν δηλοῦντα·
καὶ δὶς ἑπτὰ τυγχάνουσιν αἱ στάσεις τῶν ῥητόρων,
Ἑπτὰ καὶ τὰ χαρίσματα τοῦ Πνεύματος τελοῦσι·
Ἑπτὰ δ' αὖ στύλοις ᾥδρασται ὁ τῆς σοφίας οἶκος·
Ἑπτὰ δὲ τὰ μυστήρια τελοῦσι ἐκκλησίας·
Ἑπτάκις τῆς ἡμέρας τε αἰνοῦμεν τὸν Δεσπότην·
καὶ λύσιν ἐξαιτούμεθα ἡμῶν ἁμπλακημάτων·
τοιούτου τοίνυν τετευχὼς ὀνόματος τιμίου,
καὶ αἰθερίοις πράξεσιν ὑπάρχων ἐστεμμένος,
ὡς ὄρνις οὐρανόθρεπτος, πέλεια χρυσοπτέρυξ,
γενναίως ἀναπτήσειας ἐς οὐρανοῦ λειμῶνα
μετὰ βαθὺ, καὶ λιπαρὸν, πανεύδαιμον τὸ γῆρας. 106
Ἔχει καὶ ἄλλους εἰς αὐτοὺς τοὺς δύο ἡγεμόνας στίχους, καὶ τοὺς ἄφηκα διὰ βραχυλογίαν· ἔχει καὶ παραινετικὰ τετράστιχα, τἄφηκα καὶ αὐτὰ, δὲν τὰ ἔγραψα, καὶ γράφω τὰς ἐπιστολὰς, ὁποῦ ὁ μακαρίτης ζῶντας σεμέμα ἔγραψε, καθὸ γραφῆς ἀξιας διὰ τὴν σύνταξιν, καὶ τὰς ὑποθέσεις.

Aceste versurĭ nepresentând nicĭ un interes istoric special pentru noĭ Românĭĭ, le am dat numaĭ în original.

Γεώργιος Κυρίῳ Κωνσταντίνῳ τῷ δευτέρῳ γραμματικῷ, ἀνδρῶν λογίῳ ἐρασμιωτάτῳ, εὖ πράττειν.

ά.) Ἐμελλεν ἄρα καὶ φοιτητὴς οὐχ' ἁπλῶς, οὐδὲ τῶν τυχόντων, ἀλλὰ καὶ τῶν προὐχόντων, καὶ μάλιστα ξυνήθων, ἐπελαθέσθαι καθηγητοῦ φιλοῦντος οὐ μόνον, ἀλλὰ καὶ ὑπερφιλοῦντος, ὡς ἔγνωσται ἡλίου φανώτερον, καὶ οὐδὲ ψιλοῦ προσρήματος ἀξιῶσαι,, καὶ ταῦτα δυστυχήμασι προσπαλαίσαντος, καὶ νόσῳ λοιμώδει καταχρασθέντος, καὶ ὑπερορείου γεγονότος, καὶ διαιτωμένου ἐν ὄρεσιν· ἡνίκα οὐ μόνον τὸν προσφοιτήσαντα, καὶ τὰ εἰκότα φιλιθέντα, ἀλλὰ καὶ τὸν ἁπλῶς ἐγνωκότα, καὶ θέας μόνης καὶ ὁμιλίας κεκοινωνηκότα, κατοικτεῖραι προσῆκε, καὶ συνάχθεσθαι καὶ μεμνῆσθαι συνεχῶς, ἐπιστεῖλαί τε καὶ παραμυθήσασθαι; Ἀλλὰ τούτων ἁπάντων τὸ ἀνώμαλον τῆς τύχης, ὡς οἶμαι, παραίτιον· αὕτη γὰρ ὑμᾶς μὲν ἐν ἀρχείοις τὰς διατριβὰς ποιεῖσθαι ὁσημέραι, καὶ ἡγεμόσι λαμπροτάτης συνεῖναι, ἀνδράσιν εὐγενέσιν, ἄρχουσι μεγαλοπρεπέσι, λεῷ πολυμιγεῖ τε καὶ πολυγλώσσῳ, φρουράρχαις τε καὶ φρουραῖς περιστοιχεῖσθαι, καὶ ὡς ἔν τινι πολυάνδρῳ τὸ λυποῦν ὑποκλέπτειν θεάτρῳ παρεσκεύασεν. Ἡμᾶς δὲ ἅπαν τοὐναντίον, ἐν ὄρεσι καὶ ὕλαις περιπολεῖν, μετὰ χωρικῶν ἀγραυλεῖν, κολιοῖς τε καὶ κορώναις συγκρώζειν, ἵπποις τε καὶ βουσὶ περιστοιχίζεσθαι, καὶ ἐν πολιχνίῳ περιορεῖσθαι. Ἐν τοσαύτῃ τοίνυν ἀθυμίᾳ, μόνην ἐσχήκαμεν ἂν παραμυθίαν, τὰς παρὰ τῶν εὐνῶν ἐπιστολὰς, ὧν γε ὡς ἐν στερήσει τυγχάνομεν, σὺ αὐτὸς μάρτυς ὁ μᾶλλον πάντων ὀφειλων ἐπιστεῖλαι, καὶ μὴ ἐπιττεῖλας τὸ σύνολον. Οὕτω παρα-

Gheorghie Domnuluĭ Constantin al doilea secretar, îivĕţatuluĭ între bărbaţĭ, prea ĭubituluĭ fericire.

I). Se cuvine óre ca să mĕ uite, nu un simplu elev, nicĭ dintre ceĭ ordinarĭ, ci din ceĭ însemnaţĭ şi încă dintre familiarĭ, pe mine profesorul ce nu numaĭ l-am ĭubit, ci şi prea ĭubit după cum este ştiut maĭ clar de câ Sórele, şi nicĭ măcar de un singur cuvênt să mĕ învrednicesc pe când sunt lovit de nenorocirĭ, şi atins de bóla ciumeĭ, fiind retras şi trăind în munţĭ? Pe când se cuvinea a avea milă, a compătimi şi aţĭ aminti continu, al cerceta şi al mângâea nu numaĭ pre mine la care aĭ învĕţat şi te am ĭubit, dar şi pe un simplu cunoscut pe care l-aĭ vĕḑut numaĭ şi aĭ petrecut conversând. Dar causa tuturor acestora este nestatornicia noroculuĭ, socot. Acesta va dispus a vĕ face ḑilnic petrecerile în cancelariĭ, a vĕ întreţinea cu Domnĭ strĕluciţĭ, cu bărbaţĭ nobilĭ, cu boerĭ mărеţĭ, cu norod şi variat şi de alt ném, să vĕ înconjuraţĭ de garde şi de ofiţerĭ de gardă şi ca într'un teatru plin de ómenĭ ţi se alungă urîtul. Iar noĭ în totul din contra ne învârtim prin munţĭ şi crânguri, trăind cu ţăranĭĭ, cloncănind ca coţofanele şi ciórele şi ne încunjurăm de caĭ şi boĭ şi ne mărginim într'un sătuleţ. Decĭ în ast-fel de întristare singura mângâere am avea epistolile din partea bine-voitorilor, de care suntem lipsiţĭ; tu singur eştĭ martur, care maĭ ales

μυθοῦνται φίλοι τοὺς φίλους; οὕτω μέμνηνται τῶν ἀποδήμων οἱ ἐπίδημοι; τῶν ἀνιωμένων οἱ ἐν εὐθυμίαις; Τὸ σαυτοῦ ἐξελληνιζόμενον ὄνομα, στερέμνιον ἄνδρα δηλοῖ, καὶ σταθηρὸν. Μὴ τοίνυν ὦ ἐγαθὲ τὰς πράξεις ἀσυμφώνους τῷ σῷ ἀποδείξεις ὀνόματι. Ἀλλὰ γε τοῖς ἀδόλως φιλοῦσιν ἀδόλως σύνεσο, εὐσταθὴς ἐς φίλους, καὶ φιλίας καὶ ὢν, καὶ δυνάμενος· καὶ χαῖρε φιλίας τιμῶν, θεῖον τι χρῆμα, καὶ σχὸν ἐν ἰσοζυγίᾳ τὸ εἶναι· ἔρρωσο, καὶ φίλει τοὺς σὲ φιλοῦντας, καὶ μέμνησον τῶν σοῦ μεμνημένων. ᾨψλη, Ὀκτωμβρίου ιϐ'.

datorind să ne scrii, nu nĭ-aĭ scris de loc. Așa mângâe amicii pe amicĭ? Așa 'și amintesc ceĭ rĕmașĭ de ceĭ dușĭ? De ceĭ ce sufer, ceĭ ce sunt în fericirĭ? Numele tĕŭ grecisat însamnă bărbat constant și statornic. Decĭ, amice, să nu arăți numele tĕŭ neconform cu faptele, ci fiĭ sincer măcar cu ceĭ ce te ĭubesc din sinceritate, putênd a fi constant în amiciție și cu amiciĭ și a te bucura stimând amiciția, lucru D-deesc și avêndu-o egală cu existența. Fiĭ sănătos și ĭubește pre ceĭ ce te ĭubesc, și amintește-ți de ceĭ ce'și amintasc de tine. 1738. Octomvrie 2.

γ'). Τὰ ἔναγχός σοι ἐπισταλέντα μοι γράμματα, τὰ φιλίας ὑπερβαλλούσης, καὶ ἀγάπης ἀνυποκρίτου γέμοντα ἐδεξάμην ἀσμένως, καὶ ἀναλεξάμενος, διεχύθην τὴν ψυχὴν, ὅτι ὑγιαίνοντά σε κατήγγελον. Πρὸς δὲ, ὡς ἐν ἐσόπτρῳ τούτοις διαυγεστάτῳ, ἑνορῶν τὸ σὸν πρὸς με ὑπερέχον τοῦ ἔρωτος, ἐμαυτὸν εὐδαιμόνισα, ὡς τοιοῦτον σχόντα φοιτητὴν τε καὶ φίλον. Τοῦτο μὲν διπλόης ἄνευ καὶ εἰλικρινῶς ἀγαπῶντα, τοῦτο δὲ αὐτοβουλήτως ὑπείκοντά μοι, καὶ ὑπενδοῦντα, ὡς καθηγητῇ φιλοστόργῳ, ἅδε προεγεγράφειν χαριεντισμοῦ τε καὶ ἀστειότητος ἦν, ἀλλ' οὐκ ἐξεπίτηδες· καὶ γὰρ ἀνέκαθεν ἔρως ὑμῶν σφοδρὸς ἐνέστακταί τε καὶ ἐνεσκίρρωταί μου τῇ ψυχῇ· καὶ οἷον τεῖχος ἀδιάρρηκτον ὑπ' αὐτοῦ ἐν αὐτῇ ᾠκοδόμηται· ὥστε οὐδὲ ταῖς μεγίσταις ἐλεπόλεσι, καὶ κριοῖς στερροτάτῳ ἐστομωμένοις σιδήρῳ, κατασεισθήσεσθαι, ἐφ' ᾧ ἄγαλμα σὸν πανυ καλὸν ὑπερίδρυται, ὅλους ἀπαστράπτον ἔρωτὰς τε καὶ χάριτας· ἴσθι οὖν ὦ λῶστε τὸν σὸν Γεώργιον καὶ φιλίσαντά σε, καὶ φιλουντα, καὶ φιλίσοντα. Καὶ ἢν παιδευτὴν ἐσόμενον, διδῶ Θεὸς, ἐλευθερίων μαθημάτων, ὡς πρότερον· τοῦτο γὰρ ἐμοὶ τῶν εὐκτῶν, καὶ ἐφετοτάτων, ἵν' ἴδοιμί σε τὸν κύκλον τῶν ἐγκυκλίων μαθημάτων ἀπαρτίσαντα, καὶ μὴ γε τόξον κύκλου, ἤγε ἡμικύκλιον ἡμιτέλεστον γεγραφότα τῶν παιδευμάτων· ἀλλ' ὅλον κύκλον, ἀπὸ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ σημεῖον καταλήξαντα, τῶν ἐπιπέδων σχημάτων τὸ κάλλιστόν τε καὶ πολυχωρότατον. Ἔρρωσο, καὶ εὐτύχει, καὶ φίλει, καὶ ἐπίστελλε, ἵνα τῶν ἴσων ἀξιωθείης.

II). Epistolele ce de curênd mĭ-aĭ trimis și care sunt pline de o amiciție nemĕsurată și de o ĭubire neipocrită, le am primit cu plăcere și cetind mĭ-aŭ înveselit sufletul pentru că'mĭ vestĭaŭ că eștĭ sănătos. Pe lângă acésta, ca într'o oglindă strĕvĕdĕtóre zărind în ele ĭubirea cea superióră a ta cătră mine, m'am crĕdut fericit că avuĭ ast-fel de elev și amic; pe de o parte pentru că fără duplicitate și sincer mĕ ĭubeștĭ, ĭar pe de alta că benevol mi te supuĭ și mĕ asculți ca pe un profesor ĭubitor de elevĭ. Iar aceea ce maĭ nainte am scris era sagă și glume și nu seriositățĭ. Căcĭ în tot-déuna o dragoste puternică cătră tine s'a întărit și înrădăcinat în sufletul meŭ și ca un zid nesurpat s'a zidit în mine, în cât nicĭ cu cele maĭ marĭ mașinĭ și berbecĭ de fier prea tarĭ, nu s'ar putea sgudui, pe care statua ta prea frumósă s'a consolidat, strĕlucind numaĭ ĭubire și grație. Decĭ să știĭ o amice, că Gheorghie al teŭ te-a ĭubit, te ĭubește și te va ĭubi. Și dacă va da D-dĕŭ și voĭ maĭ fi profesor de științele libere, ca maĭ înainte, căcĭ acésta'ĭ dorința mea cea maĭ aprinsă, ca să te vĕd, că aĭ terminat cercul științelor Enciclopedice, și nu o parte numaĭ a cercului orĭ un semicerc, pe jumĕtate numaĭ cuprinzênd studiiele; ci tot cercul începênd de la un știut semn și terminându-se tot acolo, care este cel maĭ perfect și cel maĭ cuprinzĕtor din formele plane de suprafața. Fiĭ sănătos și fericit și ĭubește și trimcte epistole pentru ca și tu să te învredniceștĭ aseminea.

Τὴν παμφιλτάτην αὐτῆς λογιότητα, καὶ Κωνσταντινικὴν γραμματικότητα ἥδιστα προσαγορεύω καὶ ἀσπάζομαι ἐν Χριστῷ.

Salut și sărut în Christos pe prea ĭubitul învĕțat și secretar Constantin.

3). Fiind-că amicilor sunt tóte comune,

κοινὰ ἄρα τὰ καθ' ἡμᾶς, ἀνθ' ὧν ἐξυφάναι σοι δεῖν ἔγνων τὰ κατ' ἐμὲ ἵνα εἴης χαίρων, ὡς ἀλλοτριοφρονῶν, (ὅπερ οὐδ' εἰς νοῦν ποτ' ἀνέλαβον) ἢ ἀχθόμενος, ὡς σαυτοῦ τἀμὰ λογιζόμενος· οἶσθα τοῦ ἡμετέρου σκήνους τὸ ἀδρανὲς, καὶ πρὸς τὰς νόσους εὐκατάφορον, καὶ περὶ τὰς ἰάσεις δυσανάκλητον· καὶ ὥς γε καταποτίοις, καὶ ἑτέροις ἰατρῶν φαρμάκοις ὑπερεῖδε τότε, καὶ ἀνελαμβάνετο· νῦν δὲ τὸ μὲν σαρκίον ταὐτὸ περιφέρομεν, διὰ δὲ τὸ ὀρεσιτροφεῖσθαι, καὶ πόρρω πη ἀποπλανᾶσθαι πόλεως, φαρμακοπωλείου, καὶ ἀκεστόρων, τῶν ἀλεξινούσων ὑστερούμεθα φαρμάκων. Ἐπεισι τοίνυν, τῷ μὲν σκήνει νοσάζεσθαι, ἀσχάλλειν δὲ τῇ ψυχῇ, καὶ τῶν ἀνιώντων ἀπαλλαγῆναι οὐχ οἷόν τε. Ἄκος ἔν μοι διὸ ὑπολέλειπται, ἐᾷν τὰς ἐν ὄρει διατριβὰς, καὶ πρὸς τὴν σώσουσαν πόλιν κατιέναι, θείᾳ δέ τε συνάρσει, καὶ ἰατρῶν ἐπικουρίᾳ τὴν ὑγείαν ἀνακαλέσασθαι. Ἔμπαλιν δὲ με κατορρωδεῖν, καὶ ὑποτρέσαι, καὶ τὴν ὁρμὴν ἀναστέλλειν παρασκευάζει, τὸ τῆς ἐπαπειλούσης νόσου λοιμῶδες, τὸ δίκην ἐφαπλωθὲν τοῦ τληπαθοῦς Βουκουρεστίου νέφους ἰώδους, καὶ πᾶσαν ἡλικίαν καταφαρμάξαν, καὶ ἐκθερίσαν. Ἀνθ' ὅτου δεῖν ἔγνωκα περὶ τῆς ἡμῶν πρὸς ὑμᾶς ἐπανελεύσεως πυνθάνεσθαι, εἴγε τὸ θεῖον κράτος τὸ τῆς νόσου ἤμβλυνε κέντρον, καὶ, εἴμε δυνατὸν, ἀνοιμωκτεὶ ἐπανιέναι ἔρρωσο.

noĭ suntem amicĭ, prin urmare ale nóstre sunt comune. Pentru care m'am decis a-ți nara cele ce mĕ privesc pre mine, ca să te veselești ca unul ce cugeți alt-fel (lucru ce nicĭ mĭ-aŭ trecut prin minte), orĭ te superĭ considerând ale mele ca ale tale. Cunoști slăbicĭunea corpuluĭ meŭ și că'ĭ plecat spre bóle și cu anevoe de îndreptat prin medicamente și că se sprijină și se susține altădată prin hapurĭ și alte medicamente de ale doctorlor. Iar acum deși am tot acel corp, dar pentru că trăesc în munți și sunt prea îndepărtat de farmaciele orașuluĭ și de medicĭ, sunt privat de medicamente preservătóre. Decĭ urméză ca trupul să fie bolnav, ĭar sufletul să se neliniștéscă și așa nu'ĭ cu putință a scăpa de supărărĭ; de aceea un léc numaĭ îmĭ rĕmâne, lăsând petrecerea mea din munți și venind în orașul mântuitor. cu ajutorul luĭ D-ḑeŭ și cu îngrijirea doctorilor, să'mĭ recapăt sănătatea. Dar ĭarăși bóla amenințătóre a cĭumeĭ, ca una ce s'a întins ca un nor otrăvitor asupra nenorocituluĭ Bucureștĭ, înveninând și secerând tótă vrêsta, mĕ face să mĕ spăĭmânt, să tremur și să-'mĭ amân plecarea. Pentru care am socotit că trebue să te întreb despre venires nóstră la voĭ, dacă boldul bóleĭ s'a înfrânt cu puterea luĭ D-ḑeŭ, și dacă 'ĭ cu putință ca eŭ să mĕ întorc fără primejdie. Fiĭ sănătos.

δ'). Προφητικαὶ τε, καὶ εὐαγγελικαὶ διακελεύονται φωναὶ, τοῖς μὲν δεομένοις ἀμελητὶ τὴν κατὰ δύναμιν ἐπικουρίαν προσάγειν· πάντων δὲ μάλιστα τοῖς ἐξ ἑτέρας θρησκείας εἰς τὴν ἡμετέραν μεταskευαζομένοις, καὶ ἐκ τῆς ἀγριελέου εἰς τὴν καλλιέλαιον μετεγκεντριζομένοις. Γνοὺς τοίνυν σαυτὸν προθημότατον ἐκπληρωτὴν τῶν τοιούτων θείων φωνῶν, πέπομφά σοι τὴν δὲ τὴν ἀναφορὰν ἐγχειριζειν τῷ ἡγεμόνι, καὶ ἐκτελεῖν τὸ ζητούμενον. Ἔξεστι δὲ σοι ραδίως τοῦτο κατεργάσασθαι, κοινολογουμένῳ μετὰ τοῦ ὅλως πνέοντος ἔλεος, καὶ εὐποιΐαν ἡγεμόνος· ὅπερ διαπρυξάμενος, χαριέστατος ἔσῃ Θεῷ τε τῷ ἐλεήμονι, κἀμοὶ τῷ ἀξιοῦντι, καὶ Ἰακώβῳ τῷ λίαν χρήζοντι τῆς σῆς βοηθείας· ἔρρωσο.

4). Cuvintele și cele profetice și cele evangelice ordonă de a da curând după putere ajutor celor ce aŭ nevoe; tuturor, dar maĭ ales celor ce de la altă religie a venit către a nóstră și s'a altuit din sĕlbatec în maslin bun. Decĭ cunoscêndu-te pe tine gata îndeplinitor unor ast-fel de cuvinte D-ḑeeștĭ, 'ți am trimis ție acéstă suplică de a o înmâna Domnitoruluĭ și a îndeplini cerirea. Îți este cu ușurință ție a săvârși acésta, vorbind cu Domnitorul care'ĭ cu totul plin de milă și bine facere; care lucru sĕvêrșindu-l veĭ fi bine plăcut Milostivuluĭ D-ḑeŭ și mie celuĭ cu pretențiunĭ și luĭ Iacob celuĭ ce are fórte mare nevoe de ajutorul tĕŭ; fiĭ sănătos.

Τῷ παμφιλτάτῳ μοι τῶν φοιτητῶν, καὶ φίλων, Κυρίῳ Κωνσταντίνῳ ὑγείαν τε καὶ σωτηρίαν καὶ τὴν τῶν ποθουμένων ἐπίτευξιν.

Prea ĭubituluĭ meŭ între studenți și amicĭ, Domnuluĭ Constantin, sanătate și mântuire și îndeplinirea celor dorite.

ε'). Ὀστρέων ἐφίεμαι τῶν ἀπὸ τῆς βασιλευούσης, ὧν τυχεῖν, ἐμοὶ δυσχερὲς, διὰ τὸ ἄποθεν οἰκεῖν τῶν ἀρχείων, ἐν οἷς ταῦτα συγκομίζονται· ὅθεν

5). Doresc de stridiĭ de acele din Constantinopol, de care 'mĭ este cu greŭ a găsi, pentru că locuesc departe de autorități, unde

αὐτὸς, ὡς ἐν ἀρχείοις οἰκῶν, καὶ φίλος ὢν, καὶ φίλους πλουτῶν, μάλιστα τοὺς ταῦτα κομίσαντας, πέμψεις, εἰδα, λαβὼν, παρ' ὧν οἶδας· ἔρρωσο φίλτατε.

στ'). Ὁ μὲν πατριάρχης Ἰσαὰκ, ὦ φίλων ἄριστε, πρῶτον εἱστιάθη, ἔπειτα τὴν εὐλογίαν τῷ ἑστιάσαντι παρέσχετο. Ἐγὼ δὲ καὶ πλεῖον τοῦ Ἰσαὰκ ποιήσω, ὡς τῆς νέας χάριτος τελῶν, ἐκεῖνος δὲ τῆς ἀρχαίας. Καὶ πρὶν φαγεῖν, καὶ πρὸ τοῦ τῶν ὀστρέων ἀπογεύσασθαι, παρέχω σοι τὴν εὐλογίαν δαψιλεστάτην· οὐ γὰρ δρόσον οὐράνιον, καὶ πιότητα γῆϊνον κατεγνῶμαι σοι. Ἀλλὰ δέομαι Ὀλυμπίου ἄνακτος ἵνα σχοίης ἀμετάπτωτον τὴν ὑγείαν, προβιβασμὸν ἐπὶ τὰ τελεώτερα τῆς τε μαθήσεως, τῆς τε ἀξίας, καὶ τῆς ἐν Θεῷ προκοπῆς καὶ αὐξήσεως. Εὔθυμός τε διατελοίης, καὶ εὐεργετικὸς, καὶ περιφανὴς, καὶ καταθυμίοις ἐν ἅπασιν ἐπιτυχὴς. Ἔρρωσο φίλτατε, καὶ αὖθις καιροῦ δραξάμενος τοιούτου, μέμνησο τοῦ σοῦ Γεωργίου.

ζ'). Ἀπὸ τὸ μεγάλωμα τοῦ χάρτου ἐκατάλαβα τὸ, πῶς γραμματικὸς αὐθεντικὸς ἐστιν ὁ πέμψας τὰ δῶρα ἀπίδια, διὰ τὰ ὁποῖα εὐχαριστῶ πολλὰ, ὅτι καὶ τ' ἀπίδια πολλὰ. Διπλοῦν τὸ δῶρον, τὸ μὲν ἥδιστον, τὸ δὲ ξηρὸν, καὶ στερέμνιον· ὧν τὸ μὲν ἡδὺ, τῆς ἀδόλου φιλίας, καὶ ἀκραιφνοῦς διαθέσεως, καὶ εἰλικρινεστάτης ἀπάπης ἐστὶ τεκμήριον· τὸ δὲ στερεὸν, τὸ τῆς φιλίας στερέμνιον, καὶ μόνιμον, καὶ εὐπαγὲς ὑποδηλοῖ, καὶ οἷον ἀκράδαντον, καὶ ἀπερίτρεπτον· τὸ δὲ πόρρωθεν, καὶ ἀπὸ Στεφανουπόλεως (Μπρασοβὸ) τελεῖν τὰ δῶρα, σημεῖον ὑπάρχουσι τῆς πρὸ πολλῶν ἐτῶν ἡμῶν φιλίας, καὶ διαρκεσούσης ἐπιμήκιστον· ζῆθι ἐς μακραίωνας τριπόθητε· τὸν σοὶ ὁμωνυμοῦντα, ἐμοὶ δὲ ἄκρα φιλίᾳ ᾠκειωμένον ἄρχοντα ἄγαν κύριον Κωνσταντῖνον (τὸν προγραφέντα Ξυπόλυτον Ζαγοριανὸν λέγει) προσκυνῶ.

Τὴν λογιότητά της ἄρχον γραμματικὲ κύριε
Κωνσταντῖνε Δαπόντε ὁλοψύχως ἀσπάζομαι,
καὶ πατρικῶς περιπτύσσομαι.

ή). Χθὲς λαβὼν παρὰ τοῦ παιδὸς τὸ ραβάσιόν της, εἰ καὶ ἐτρώθην τὴν καρδίαν, ἀλλ' ἐνασχολούμενος μετὰ τοῦ ἄρχοντος ἰατροῦ σινιὸρ Δεπάστε, δὲν εἶχα εὐκαιρίαν νὰ ἀποκριθῶ, καὶ ἃς ἔχω συγγνώμην· νῦν δὲ συλλυπούμενος πατρικῶς διὰ τὴν ἀνιαρὰν ἀγγελείαν τῆς εἰς Κωνσταντινούπολιν ἀποδημίας τοῦ μακαρίτου αὐταδέλφου της, καὶ ἱεροδιακόνου Φιλοθέου εἰς Κων/πολιν γενομένης, τοῦτο συντόμως λέγω, ὅτι κἀγὼ συναλγῶ, καὶ οἰκτείρω τὸ πάθος, καὶ ταλανίζω ἀδελφὸν, τοιοῦτον ἀδελφὸν, ὁποῖον ἐκεῖνον ἀπώλεσεν.

se aduc acestea. Decĭ tu ca unul ce trăeștĭ la autoritățĭ și 'mĭ eștĭ amic și bogat de amicĭ, maĭ ales de aceștĭ ce le aduc acestea, 'mĭ veĭ trimite de sigur prin cine știĭ. Fiĭ sănătos amice.

6). Patriarhul Isac, o ĭubite amice! Intăĭ a mâncat și apoĭ a dat bine-cuvêntare celuĭ ce l'a ospătat; ĭar eŭ voĭu face și maĭ mult de cât Isac, ca fiind sub noul har, pe când acela sub cel vechi. Că înainte de a mânca și înainte de a gusta din stridiĭ, îți daŭ cea maĭ deplină bine-cuvêntare. Căcĭ nu 'ți doresc ție roua ceréscă și grăsimea pământéscă, ci mĕ rog împĕratuluĭ Olimpuluĭ (ceresc) ca să fiĭ continu sănătos și să progresezĭ tot maĭ mult în învĕțătură și demnitate și în înaintarea și sporirea cea în D-ḍeŭ și să fiĭ vesel, bine-făcĕtor, însemnat și câștigător de tóte dorințele cele bune. Fiĭ sănătos amice, și de câte orĭ aĭ timp aduți aminte de Gheorghe al tĕŭ.

7). De pe mărimea hărtieĭ am înțeles, că cel ce mĭ-a trimis presentul de pere este secretar Domnesc, pentru care îți mulțămesc mult, pentru că și perele sunt multe. Darul este îndoit, pe de oparte dulce, pe de altă uscat și vîrtos. Decĭ dulcele este dovada de amiciție sinceră și de o dispositie curată și de ĭubire adevĕrată; ĭar vêrtoșia arată soliditatea amiciției, persistentă și tare, adică nestricată și neprefăcută. Apoĭ de departe a-mĭ trimite presente, de la Brașov, este semn a amiciției nóstre ceĭ de mulți anĭ și care va continua cât maĭ mult. Să trăeștĭ la mulțĭ anĭ mult ĭubite. Mĕ închin celuĭ de un nume cu tine, și cu care am trăit în cea maĭ mare prietenie, boeruluĭ Aga Constantin. (Amintește pe cel ḍis maĭ sus Zagorianul Xipolit).

Salut din suflet și parinteşte îmbrățișez pe învețatul, boerul secretar Domnul Constantin Daponte.

Erĭ luând de la servitor epistola ta, de și mi s'a rănit inima, dar ocupându-mĕ cu boerul doctor Senior Depasta, n'am avut timp să'ți rĕspund, și să am ertare. Acum însă compătimind cu tine părintește pentru întristătórea veste a reposăreĭ în Constantinopol a fericituluĭ tĕŭ frate și Ierodiacon Filoteĭ, întêmplată în Constantinopol, acésta ḍic în scurt că și eŭ compătimesc și regret întîmplarea și deplâng pre fratele ce a perdut un ast-fel de frate prea

τον φίλτατον ἀδελφὸν ἀποβεβληκότα, καὶ μηκέτι τοῦτο ὀψόμενον. Ἀλλὰ τί τούτων ὄφελος; τί δὲ καὶ τὸν ἀπελθόντα τοῖς θρήνοις ὠνήσαιμεν; τοιγαροῦν ὡς νουνεχὴς, καὶ πεπαιδευμένος, ἀνάλαβε σεαυτὸν, καὶ ἐπὶ τῷ τοιούτῳ φιλοσόφησον πάθει· θνητοὶ γὰρ πάντες ἐσμὲν, καὶ ἐπίκηροι, καὶ ὁδὸν τὴν αὐτὴν πορευόμεθα ξύμπαντες, εἰ καὶ ὁ μὲν τάχιον, ὁ δὲ βράδιον. Ἐκεῖνος οὐκ ἔτι ἀναστρέψει εἰς ἡμᾶς, ἀλλ' ἡμεῖς πρὸς αὐτὸν ἀπελευσόμεθα· ὡμολόγει τοίνυν τῷ κρείττονι χάριτας, ὅτι τὸν σαυτοῦ ἀδελφὸν ἐκ τῶν του βίου τούτου ἀνωμαλιῶν καὶ κλυδώνων ἀνήρπασε, καὶ ἐν τῇ οὐρανίῳ μακαριότητι προσελάβετο. Ἔρρωσο τοίνυν τὸ ἀπὸ τοῦδε ἀλύπως, καὶ φιλοσόφῳ φρενὶ σαυτὸν παραμύθησον.

Ἰδοὺ δὲ καὶ τὸ ἐμὸν πρὸς αὐτὸν εὐτελὲς, καὶ ἀτελὲς πονημάτιον· ἀφ' οὗ ἔζω ἀπὸ τὴν Τζάραν, ὁποῦ ἦτον φευγάτος διὰ τὴν πανούκλαν, ἦλθεν εἰς Βουκουρέστιον, καὶ μετ' ὀλίγον ἀπὸ φίαγγον ἀπέθανεν· ὁ Θεὸς νὰ τὸν ἀναπαύσῃ.

Ἐμελλεν ἄρα, Πανιερώτατε, καὶ Θεοπρόβλητε μητροπολίτα, εὐγενέστατοι ἄρχοντες, χρήσιμοι πραγματευταὶ, περίλυποι συμαθηταὶ, καὶ ἅπας ὁ τοῦ Κυρίου λαὸς περιούσιος, ἔμελλε, λέγω, ἡμῖν, καὶ τοῦτο τῆς τλιπαθοῦς Βλαχίας τὸ ἀπολειφθὲν κάλλος ἰδεῖν ἀμαυρούμενον, τῆς ἐκτακείσης ἀρούρας τὸν πολύχουν στάχυν ἐκθερυζόμενον, τὸ ἀγλαόκαρπον δένδρον τοῦ κατανεμηθέντος λειμῶνος ἀπορριζούμενον, ἐκρυῆσαν τὸ ἄνθος, καὶ τῆς κυψέλης τὴν σοφὴν ἀποπτήσασαν μέλισσαν, καὶ τῷ ἐπουρανίῳ προσφοιτήσασαν μελισσῶνι, μελισσουργήσασαν ἐπὶ γῆς τῶν μελισταγῶν ἐπιστημῶν τὴν ὑπὲρ μέλι καὶ κηρίου διδασκαλίαν καὶ ἔκδοσιν. Βαβαὶ τοῦ κακοῦ, φεῦ τῆς συμφορᾶς, οἴμοι τῶν δεινῶν! ὑπέστης μὲν γὰρ, ὦ ἱερὸν πέδον, ὀρθόδοξος γῆ, ὀνομαστὴ Βλαχία! ὑπέστης δεινὰ, καὶ πέρα δεινῶν κακοῖς προσωμίλησας! Κατανικαὶ ἔφοδοι τοῦ σοῦ προσώπου τὸ κάλλος ἀνήλωσαν, τῶν ἐκ τῆς Ἄγαρ τὰ ὅπλα τὸ στῆθος κατέρραξαν, τοὺς μαστοὺς ἡ Ταταρικὴ λύσσα ἀπέθλιψε, τὴν νηδὺν ὁ πικρὸς λοιμὸς συγκατέστειλεν, ἡ πανώλης τὰς χεῖρας ἀπέταμεν, ἡ φλογινὴ ρομφαία (πυρκαϊὰ) τὴν νόμην ἐκείρατο. Ἀλγεινὰ ταῦτα πάντως, καὶ δύσποιστα, καὶ ἱκανὰ ἐκπλῆξαι ἀκοήν τε καὶ ὅρασιν! ἀλλ' οὔπω τὴν καρδίαν ἐτέτρωσο, οὔπω τὰς ὄψεις πεπήρωσαι ...

Τοῦτον τὸν ἄνθρωπον, ὡς καλὸν ἄνθρωπον καὶ διδάσκαλον, καὶ ἀστεῖον, τὸν ἀγαποῦσαν πάντες οἱ ἄρχοντες, πρὸ πάντων δὲ ὁ πάντων ἐξαίρετος Δουδέσκουλος, περὶ οὗ ἔπρεπε νὰ γράψω εἰς τὴν σειρὰν τῶν ἀρχόντων, καὶ ἀλησμόνησα· ἰδοὺ δὲ τὸν γράψω ἐδῶ.

ĭubit și pe care nu'l va maĭ videa. Dar ce folos cu acestea? Ce am folosi pe reposat cu lacrămile? Decĭ ca un om cu minte sănătósă și învĕțat făți curaj, și filosoféză asupra acesteĭ suferinți. Cu toțiĭ suntem muritorĭ și trecĕtorĭ, și acelaș drum avem al urma cu toțiĭ, de și unul maĭ curônd, altul maĭ târdiŭ. Acela nu se va reîntórce maĭ mult la noĭ, dar noĭ ne vom duce la el. Decĭ arată mulțămirĭ celuĭ prea puternic pentru că a scos pe fratele tĕŭ din vejeliile și desordinele vieței acestia, și l-a luat în fericirea cerească. Fiĭ sănătos dar de acum neîntristat și te mângâe cu cugetare filosofică.

Iată și lucrarea mea simplă și neperfectă către acela, după ce de afară din Țară, unde era fugit din pricina ciumeĭ, a venit în Bucureștĭ și curônd a murit de diabet. D-ḑeŭ să'l odihnéscă.

Era óre sortit Preasfințite și de D-ḑeŭ păzite Mitropolite, prea nobililor boerĭ, comercianți trebuitorĭ, tristilor conșcolarĭ și tot poporul ales a luĭ D-ḑeŭ, era óre sortit, vĕ repet, ca și acéstă frumusețe din urmă a mult suferitóreĭ Valahiĭ să o vedem înegrită, secerat spicul cel bogat din brasda topită, smuls arborele cel fructifer din distrusa grădină, flórea dispărută și înțelépta albină sburată din faguri și îndreptându-se către stupul ceresc, care producea pe pământ meria prin învĕțătură și respîndirea științelor ce picură dulcéța superióră mereĭ și faguruluĭ. Vaĭ! câtă rĕutate! Vaĭ câtă nenorocire! Vaĭ câtă întristare! Căcĭ aĭ suferit, o sântă Țară, pământ orthodox, renumită Valahie, aĭ suferit întristare și maĭ mult de cât întristare, pătrunsă de împrejurărĭ grele! Năvalirile catanelor ți-a veștejit frumusețа, feței tale ți-a sdrobit pieptul sabia celor din Agar, ți-a stors țițile turbarea tatarică, te a împuținat amara ciumă, ți-a tăĭat mânele pesta, focul consumator ți-a ars cóma. Dureróse sunt tóte aceste și de jelit și îndeajunse se spăimânte orĭ ce auḑire și vedere! Dar încă nu ți-se vulnerase inima, încă nu ți-se strivise vederile....

Pe acest om ca bun bărbat și profesor și cetățén 'l ĭubĭaŭ toțiĭ boerĭĭ, maĭ ales cel maĭ escelent Dudescu, despre care trebuea să scriŭ la rândul boerilor, dar am uĭtat. Dar ĭată îl scriŭ aicea [149])

Κωνσταντῖνος Δουδέσκουλος· οὗτος εἰς τοὺς κατὰ καιρὸν αὐθέντας τῆς Βλαχίας ἐστάθη καὶ σπαθάρης, καὶ λογοθέτης, καὶ Βόρνικος. καὶ μπάνος, ἐτιμήθη μὲ ταῖς μεγαλείτεραις ἀρχοντίαις, ὡς ἄξιος καὶ ξεχωριστὸς ἀπὸ ὅλους· ἦτον γὰρ ἄνθρωπος μεγαλοπρεπὴς, ὡς ἦτο καὶ μεγαλόσωμος, καὶ πολιτικὸς, καὶ καλογερικὸς, εὐβλαβὴς, φιλακόλουθος, φιλόπτωχος, καὶ φιλομόναχος. Μὲ ἔδωκεν, ὅταν ἤμουν εἰς Βουκουρέστι μὲ τὸ τίμιον ξύλον, ὡς πεντακόσια γρόσια· ὑπεσχέθη, ἔβγαλε καὶ μετάνοιαν εἰς τὸ τίμιον ξύλον, νὰ ἔλθη μαζί μου εἰς τὸ ἅγιον Ὄρος, τὸν ἐμπόδισε δὲ ἕνας ἱερομόναχος, καὶ ἔμεινεν· ἔγινε δὲ καλόγηρος, καὶ μετωνομάσθη Κλήμης, καὶ ἀπέθανεν· ὁ Θεὸς νὰ τὸν ἀναπαύσῃ· τοιοῦτος ἄρχωντας Βλάχος καὶ Μπόγδανος δὲν ξαναγεννᾶται!

Ἀλέξανδρος Λαρσινὸς, διδάσκαλος, διάδοχος Γεωργίου, μαθητὴς δὲ καὶ αὐτὸς τοῦ ρηθέντος Μακαρίου τοῦ Πατμίου.

Δημήτριος Μωραΐτης Νοταρᾶς, ἀνεψιὸς Χρυσάνθου τοῦ πατριάρχου, ἰατροφιλόσοφος, ἀμφοτεροδέξιος, ἤγουν ἐπιστήμων εἰς τὰ ἑλληνικὰ καὶ λατινικὰ, ἀπέθανεν εἰς τὸ Βουκουρέστι· ὁ Θεὸς νὰ τὸν ἀναπαύσῃ. Τοῦτος κοντὰ εἰς τὰ ἄλλα μετέφρασεν ἀπὸ τὸ λατινικὸν εἰς τὴν γλῶσσάν μας, καὶ Γεωγραφίαν, τὴν ἔχω, ἧς ἐπιγραφή. „Σύντομος μερισμὸς τῆς ὑδρογείου σφαίρας“· ἔχει δὲ εἰς τὴν ἀρχὴν τοὺς στίχους τούτους.

Constantin Dudescu. Acesta în timpurile Domnitorilor Valahieĭ a fost și Spătar și Logofăt și Vornic și Ban; a fost onorat cu cele maĭ marĭ boerĭ ca un vrednic și deosebit între toțĭ, era om imposant dupre cum era și corpolent, și politicos, și călugăros, și pios, și ĭubitor de rânduéla bisericéscă, și ĭubitor de săracĭ și ĭubitor de monahĭ. Mĭ-a dat când eram la Bucureștĭ cu cinstitul lemn ca cincĭ sute leĭ. A promis, a luat și hotărîre la cinstitul lemn să vină împreună cu mine la Sântul Munte, dar l-a împedecat un ieromonah și a rĕmas. Și s'a călugărit și s'a numit Climent și a murit. D-ḑeŭ să'l repauseze. Ast-fel de boer Valac și Moldovan nu se maĭ arată [150]).

Alexandru Larisiu, profesor, succesor luĭ Gheorghie, elev și acesta a amintituluĭ Macarie Patmianul [151]).

Dimitrie Morait Notara, nepot luĭ Chrisant Patriarhul, filosof și doctor, învĕțat în în ambele, știia grecește și latinește, a murit în Bucureștĭ. D-ḑeŭ să'l odihnéscă. Acesta pe lângă altele a tradus din latinește în limba nóstră și Geografia (o am) a căruĭa titlu este: *Scurtă împărțire a sfereĭ pământeștĭ*; are la început stihurile următóre:

Γεωγραφία σύντομος φωνῆς ἐκ λατινίδος
εἰς τὴν Ἑλλάδα τὴν ἁπλῆν καλῶς μεταφρασθεῖσα
παρὰ σοφοῦ ἀκέστορος, τοὔνομα Δημητρίου
τὸ γένος ὄντος Νοταρᾶ τοῦ Πελοποννησίου,
ἧς ἡ ἐπιδιόρθωσις καὶ κρίσις ἡ τελεία
ἐγένετο νοὶ λεπτῷ τοῦ μακαριωτάτου
ἁγιωτάτου τε πατρὸς, ὁμοῦ καὶ σοφωτάτου
ἱεράρχου προσκυνητοῦ τῶν Ἱεροσολύμων,
δεσπότου, καὶ ποιμάντορος κυρίου κὺρ Χρυσάνθου,
τοῦ ἐπωνύμου πάντως γε ἄνθους χρυσαυγεστάτου,
παρ' οὗ καὶ ἀφιέρωται κυρίῳ Γρηγοράσκῳ *)
Γκίκᾳ τῷ πάνυ, καὶ κλεινῷ, καὶ πανευγενεστάτῳ
τῆς γραταιᾶς τῷ ἑρμηνεῖ μεγάλῳ βασιλείας·
ὃν ὁ τῶν πάντων Κύριος Θεὸς διατηροίη
ἔνδοξον καὶ περίβλεπτον, λίαν τετιμημένον
εἰς ἔτη μαθουσάλια, πανευτυχῆ τε ἅμα,
μετ' ἀγαθῶν τε τῶν λοιπῶν καὶ τῶν καταθυμίων,
μετὰ τῶν οὐρανίων τε ὁμοῦ καὶ ἐπιγείων.

*) Τὸν ἀδελφὸν τοῦ ἀποκεφαλισθέντος; Ἀλεξάνδρου λέγει.

Αὐτὴ ἡ Γεωγραφία εἶναι ὡς τέσσαρες κόλλαις, ἀξιόλογος δὲ καὶ ἀξιοτύπωτος. Ἔχει καὶ μίαν πλαστὴν ἐπιστολὴν, τὴν ὁποίαν δὲν ἠμπορῶ παρὰ νὰ γράψω καὶ καὶ αὐτὴν, ὡς ἀξίαν γραχῆς καὶ εἶναι αὐτή.

Acéstă Geografie este ca de patru cóle, însemnată însă și vrednică de a fi împrimată. Are și o epistolă fantastică, pe care nu pot de cât s'o transcriŭ și pe acésta, pentru că și acésta este demnă de a fi scrisă [152]).

Ἐπιστολὴ πρὸς φιλόσοφον, ἐν ᾗ περιγράφεται οἰκία ἐρημική.

Εἴχαμεν χθὲς ἡμέραν, ἡ ὁποία ὡμοίαζε Φίλιππον τὸν Ἀμύντου· διότι ἐμποδίζωντας τὰς ἀκτίνας τοῦ καυστικοτάτου φοίβου νέφη, ἐπάνω εἰς τὸν ὁρίζοντα τοῦτον ἐκτεταμένα, ἔγινε μία γλυκυτάτη δρόσος ἀνάμεσα εἰς τὸ φῶς, καὶ εἰς τὴν σκιὰν τόσον, ὥστε μᾶς ἐφάνη ὄχι ἡμέρα καιροῦ· ὅταν ὁ οὐράνιος σκύλος ἀρχηνᾷ νὰ λυσσᾷ μαινόμενος, καὶ ποιεῖ τὰ πάντα πυρίκαυστα, καὶ δίδει ἐρωμανίαν οἴστρον εἰς τὰς γυναῖκας περισσότερον. Ἀλλ' ὅταν αἱ ἀηδόνες ἀπὸ ἐαρινοὺς ἔρωτας ἐρεθιζόμεναι, καὶ ἀπὸ νέαις πρασινάδες παρακινούμεναι, προσκαλοῦσι καὶ νέαις, καὶ νέους, ὡς καὶ τοὺς γέροντας εἰς ἀκοὴν τῆς ἡδίστης φωνῆς, ὁποῦ εἰς τοὺς φραγμοὺς, καὶ εἰς τὰ δάση μουσικόλαλον κάμνουσι τὴν ᾠδήν· μὴ φοβούμενοι λοιπὸν καῦσιν ὁ φιλέρημος, καὶ ἐγὼ, ἐκατέβημεν εἰς μίαν λίμνην, διὰ νὰ τέρψωμεν τοὺς ὀφθαλμοὺς μὲ τὴν Θέαν τῶν ὑδάτων, τὰ ὁποῖα ἔχουσι τρεῖς πηγὰς εἰς τόπους ἐξίσης πεδινοὺς, καὶ ἐξίσης εἰς τὴν ποσότητα, καὶ ποιότητα. Ἐπειδὴ, ὡς λέγουσιν οἱ ὀχετηγοὶ, ὁποῦ φέρουσι τὰ νερὰ μὲ σωλῆνας εἰς τὰς πόλεις, ἔχει κάθε μία δέκα οὐγγίας ὕδατος· τὸ ὁποῖον εἶναι τόσον καθαρὸν, ὁποῦ ἠμποροῦσαν νὰ γίνουν καὶ ἄλλοι νάρκισοι νεκροὶ, Θεωροῦτες τὰς ἰδίας εἰκόνας. Καὶ ἂν, πρὸ τοῦ νὰ χυθοῦσιν εἰς τὴν λίμνην, ἐσμίγοντο, ἤθελαν κάμῃ αὗται αἱ πηγαὶ ποταμὸν ὄχι εὐκαταφρόνητον, διότι ἠθέλαμεν τὸν ὀνομάσῃ ἄλλον Ἀλφειὸν, ἢ Εὐρώταν. Εἶχε δὲ ἡ λίμνη τόσην γαλήνην, ὅσην ἂν εἶχε τὸ Αἰγαῖον ποτὲ, ἢ τὸ Κάερ, δὲν ἤθελε στείλῃ μήτε λινάρι, μήτε ζαχαρικὰ εἰς τὴν Βασιλεύουσαν, καθὼς μήτε ἡ Βενετία, μήτε ἡ Ἰγκλητέρα εἰς τὴν Σμύρνην τὰ χρυσᾶ, καὶ τὰ μάλινα. Ἀντὶ προβάτων, καὶ κτηνῶν εὑρήκαμεν ἀγέλας διαφόρων πτηνῶν· καὶ ἄλλα μὲν ἐβύθιζαν, κυνηγῶντας τοὺς ἀφώνους οἰκήτορας· ἄλλα δὲ ὡσὰν συλλογιζόμενα ἐστέκασιν εἰς τὰ ἀκρόλιμνα, εἰς φιλακὴν τῶν τέκνων· τὰ ὁποῖα ὄντας ἀκόμι ἄπτερα δὲν ἔδερνε τὸν ἀέρα ἀπὸ δύο ἢ τρεῖς πιθαμαῖς περισσότερον. Κλίναντες ἔπειτα κατὰ τὰ ἀρκτῶα, εὑρήκαμεν μίαν νέαν λίμνην, ἡ ὁποία δὲν ἦτον, ὡς ἡ πρώτη, μελάνυδρος, ἀλλὰ μιμουμένη τὸν χρυσὸν, τῶν ἀνθρώπων τὸν τύραννον, ἔκαμνε χρυσοφεγγῆ τὰ αὐτῆς κύματα· τὰ ὁποῖα τόσον ἤδυναν τοὺς ὀφθαλμοὺς, ὁποῦ μὲ ἀπάτην πλησίον μᾶς ἔσυραν, καὶ τὸ Θαῦμα ἦτον, ὁποῦ μέσα εἰς τόσον πέλαγος δὲν ἔβλεπες μηδαμῶς ἐξοχήν· αἴτιον δὲ τοιαύτης ἰσότητος εἶναι τὰ ὕδατα τῶν τριῶν πηγῶν· τὰ ὁποῖα οἱ ἐπιμελεῖς γεωργοὶ κατὰ εὐθέτους περιόδους χωρὶς πολλοῦ κόπου στρέφοντες, ποτίζουσιν ἐξίσης τὰ γεννήματα· τὰ ὁποῖα ὄντας σπαρμένα εἰς γῆν ἐξίσης γόνιμον, καὶ ὁμαλῶς εἰργασμένην, τρέφονται ὅλα ἰσοστάσια. Ἀπ' ἐδῶ προβαίνοντες ὀλίγον κατ' ὀλίγον, ἀντικρύζει εἰς τὰ ὄμματά μας μία εὐρυχωροτάτη κοιλὰς, ἤτις ὅμως εἰς τόσον κρυφία, ὁποῦ μόλις γνωρίζεται· διότι πάντοθεν ἀπὸ ὑψηλότατα ὄρη στεφανοῦται, πλὴν μιᾶς ὁμαλὶς πύλης, διὰ τῆς ὁποίας εἶναι τὸ ἐμπασμα. Ἀπὸ αὐτὴν τὴν κοιλάδα, ἀπὸ τὰ πολλὰ δένδρα, ἄλλα ἀειθαλῆ, ἄλλα φιλορροοῦντα, καὶ ἀπὸ τὰ πολλὰ ὕδατα, ἐξορίζεται ἡπερισσὴ ζέστη, καὶ γελῶσι πάντοτε ἡ πρασινάδες· βλέποντες ἡμεῖς τόσην εἰρήνην, ἔχοντες καὶ διάφορον τὴν τῶν πτηνῶν μελωδίαν, ἐδιετρίψαμεν μὲ μεγάλην, ὅμως ἀθώαν ἡδονήν. Καὶ τόση ἦτον ἡ γαλήνη, ὁποῦ ἀγκαλὰ καὶ ὁ τολμηρὸς, καὶ αἱμοβόρος Ἄρης συγκροτεῖται εἰς ἅπασαν τὴν Ἑλλάδα μὲ τὰ ἅρματα, ἡμεῖς μηδὲ φωνὴν, μηδὲ ἦχον τοῦ τοσούτου Θορύβου δὲν αἰσθανόμεθα. Καὶ στοχαζόμενοι, ἐθαυμάσαμεν, πῶς ὁ πάνσοφος Ἀριστοτέλης δὲν ἤγειρεν ἐδῶ τὸ αὐτοῦ Λύκειον, ἢ τὴν Ἀκαδημίαν του ὁ γενναῖος Ἀκάδημος. Ἐλυπήθην καταπολλὰ ὁποῦ δὲν ἐγεννήθην, μήτε ἀνετράφην ἐδῶ· διότι ἤθελα ἔχῃ περισσοτέραν ὠφέλειαν ἀπὸ τὴν ἄγνοιαν τῆς κακίας, παρὰ ἀπὸ τὴν γνῶσιν τῆς ἀρετῆς· καὶ τοῦτο εἶναι φανερὰ, διότι ὅσοι ἀπὸ τοὺς προπάτορας τὴν ἔρημον ἐκατοίκησαν, μετὰ τὴν τελευτὴν ὅλοι εἰς τὸν οὐρανὸν ἐξαπέταξαν. Μετὰ τὴν διατριβὴν ταύτην ἔσυρα τὸν φιλέρημον εἰς ἕνα μου περιβόλιον· τὸ ὁποῖον ἐγὼ νομίζω ἀπὸ τοὺς κρεμαστοὺς κήπους τῆς Σεμιράμιδος τιμιώτερον· καθὼς ἡ φυσικὴ τροφὴ εἶναι ὠφελιμωτέρα ἀπὸ τὴν κατασκευαστὴν εἰς τὰ σώματα, διότι ἡ φύσις, ὡς λέγει μοι ἡ φιλοσοφία σου, ἀγαπᾷ, καὶ κάλλιον ἀναπαύεται εἰς τὰ ἁπλούστερα. Αὐτοῦ τὸ ρόδον, ὁ κρῖνος, αὐτοῦ ἡ ἀνεμώνα, αὐτοῦ τὸ ἴον, εἶναι ὁ λαὸς ἐκεῖνος, μὲ τὸ ὁποῖον συνομιλοῦμεν· ἡ βρύσις, καὶ τὰ δένδρα μᾶς κάμνουσι, καὶ αἰσθανόμεθα, ὅτι ἀγροικηκαὶ Θεότητες εὐμενῶς ἐφεδρεύουσι τοῦ τόπου, καὶ ἡμεῖς εὐλαβῶς καὶ καθόμεθα, καὶ περιπατοῦμεν· φαρμακερὰ θηρία αὐτοῦ δὲν ἐμφολεύουσι, φασιανοὶ δὲ, κόσσυφοι, περιστεραὶ, πέρδικαις, καὶ τρυγόνες τοὺς κλάδους βαρύνουσι· καθὼς καὶ τὰ πωρικὰ ἕως εἰς τὴν γῆν τὰ φυτὰ κλίνουσι, μήτε ἀφήνουσι τοὺς καρποὺς, ἐὰν χεὶρ ὀρεγωμένη δὲν τοὺς μαζώξῃ. Διότι τὰ στοιχεῖα εἶναι τόσον καλὰ συγκερασμένα, ὁποῦ τὸ ἕνα εἰς τὸ ἄλλο δὲν ἀντιστέκεται· ἀλλὰ γλυκεῖς ζέφυροι παντονινὰ σχεδὸν πνέουσι, βορέας δὲ, ἢ νότος, ἢ ποτὲ δὲν Θορυβοῦσιν, ἢ σαγανάκια, καὶ ὀλίγον γνωρίζονται, διότι καὶ τὰ δένδρα, καὶ τὰ ὄρη τοὺς ἐμποδίζουσιν. Εἰς μίαν ἄκραν τοῦ περιβολίου εἶναι κτισμένος ὁ οἰκός μου· τὸν ὁποῖον δὲν στολίζουσι χρυσὸς, καὶ ἄργυρος, μήτε Ἀπελλοὺς, ἢ Φειδίου

θαυμάσια εἰς τοὺς περιέργους τεχνάσματα· μήτε κρύπτεται εἰς αὐτὸν τὸ πολύτιμον τοῦ Ξέρξου κλῆμα, μὲ τὰ ὁλόχρυσα, καὶ τζεβαερένια σταφύλια· μήτε κομπάζεται ἡ εὐρυχωρία τοῦ Παλατίου τοῦ Νέρωνος, μήτε τοῦ Βατικανοῦ ἡ πολύαντρος μηχανή. Ἀλλὰ πέτρα ἁπλῶς πελεκητὴ εἶναι τριῶν οἰκιδίων μετὰ τοῦ γραμματίου, καὶ ὕλη, καὶ κειμήλιον· πλὴν τούτων διὰ ξεχωριστὴν ψυχαγωγίαν ἔχω μέσην οἰκίαν, τὴν ὁποίαν ἐγὼ ὀνομάζω μουσεῖον μου· ἴσως ἄλλος τινὰς ἤθελε τὴν ὀνομάσῃ ἄντρον τῆς Καλυψοῦς δίας θεάων, ἀγκαλὰ καὶ ἐκεῖνο ὄστρακα, καὶ πῶροι ἐλάμπρυναν. Εἰς τοῦτο φυλακωμένος ἐγὼ, διὰ τῶν κτισμάτων, ὡς διὰ κλιμάκων, ἀναβαίνων εἰς τὰ οὐράνια, τόσον ὑψηλὰ μὲ τὴν μελέτην, ὁποῦ ἔχω πάντοτε ἔμπροσθέν μου τὰ κάλλη τὰ ἀνεκλάλητα τοῦ ἐμπυρίνου οὐρανοῦ, ὁ ὁποῖος εἶναι ἡ ἀναμφίβολος τῶν μακαρίων ψυχῶν καθέδρα. Μέσα εἰς τοῦτο ἄλλο δὲν εἶδεν ὁ φιλέριμος παρὰ τὰς ἐννέα Μούσας, τῶν ὁποίων ἡ κάθε μία ἰδίαν ὠδὴν ἔψαλεν. Ἄλλη δηλαδὴ τοῦ Ἀγαμέμνονος, ἄλλη τοῦ Ἀχιλλέως τοὺς πολέμους, ἄλλη τοῦ Ὀδυσσέως τὴν πλάνην, ἄλλη τῆς Διδοῦς τοὺς ἔρωτας, ἄλλη Ἰάσωνος καὶ Μηδείας, Θησέως καὶ Ἀριάδνης ταῖς ἀγάπαις, ἄλλη Πυράμου, καὶ Θίσβης, Λεάνδρου, καὶ Ἡροῦς τοὺς δυστυχεῖς πόθους· ποῖα τῶν Ἡρώων, ποῖα τῶν ἡμιθέων τὰ κατορθώματα· ἄλλη ἀναβαίνουσα ὑψηλότερα, τὴν τοῦ Ἰκάρου καὶ φαέθοντος πτῶσιν ἐτραγώδησεν. Ἀναμεταξὺ τούτων ἔκαμνε προκαθεζόμενος ὁ φοῖβος Ἀπόλλων τὸ ἐνδόσιμον. Θαυμαστὴ ἡδονή, καθαρὰ ἡδονή· τρυφὴ ἀξία τῶν μακαρίων ψυχῶν, ἐβόα ὁ φιλέρημος· ὦ ὁποίαν ἡμέραν ἔχασες· ὦ φιλόπολι! διὰ ποίαν αἰτίαν ἠμέλησες νὰ ἔλθῃς εἰς ταύτην τὴν ἔρημον; Ἐγὼ δὲ εἶπα, θέλω νὰ τοῦ γράψω τὰ πάντα, ἴσως καὶ ἀπὸ τὴν ἀνάγνωσιν μισήσει τοὺς θορύβους, καὶ βδελιροὺς ἔρωτας τῆς Πόλεως. Ἐγαίνοντες ἡμεῖς ἔξω ἀπὸ τὸ μουσεῖον, ἴδαμεν, ὅτι ὁ ἥλιος εἶχεν ἀναβῇ ἕως εἰς τὸ μεσουράνημα· καὶ ἀκολουθοῦσε τόσο καλὰ ἡ ἀρχὴ τῆς ἡμέρας ὁποῦ τὸ φῶς δὲν ἤθελε δυνηθῇ νὰ βλάψῃ τῶν ἀσθενούντων τὰ ὄματα· μήτε ἤθελε φανῇ εἰς τὰ πρόσωπα τῶν γυναικῶν, ἂν φυσικὴ ἢ τεχνικὴ εἶναι ἡ κοκκινάδα, ἢ ἡ ἀσπράδα ἀλάθαστα. Τοιαύτη κράσις ἀπὸ φῶς καὶ σκότος ἔκαμνεν ἕνα τρίτον καιρὸν, ὁποῦ δὲν ἐχει ὄνομα, ἢ ἂν ἔχει σιμὰ εἰς τοὺς σοφοὺς, εἰς ἐμένα εἶναι ἀγνώριστον. Τότε τὸ σῶμα διὰ νὰ ἀποκτίσῃ τὴν δύναμιν, ὁποῦ ματὰ τὴν νηστείαν ἔχασεν, εἰς τροφὴν μᾶς ἐπαρακίνησε· τὴν ὁποίαν ἐπήραμεν, μετρίαν, καὶ λιτὴν τράπεζαν ἔχοντες, σιμὰ εἰς τὴν δροσερὰν, καὶ κρυσταλλοειδῆ βρύσιν, τρώγοντες λευκὸν ἄρτον, τυροὺς, γάλατα, χόρτα ἰαματικὰ, γλυκύτατα πωρικὰ, καὶ σβένοντες τὴν δίψαν μὲ τὸ νερὸ τόσο κρύο, ὁποῦ ἐραίνετο, ὅτι ἡ τοῦ Μαΐου δρόσος ἀπέστιψεν. Ἠμπορούσαμεν νὰ φάγωμεν ἀπὸ κυνήγια ἐξαίρετα· ὅμως ἡ σωφροσύνη τῆς ἐρήμου συνειθίζῃ νὰ τὰ διαφυλάττῃ, καὶ ὄχι νὰ τὰ φονεύῃ, χύνωντάς των τὰ αἵματα. Μετὰ μιᾶς ὥρας συνομιλίας ὀλίγος, καὶ γλυκὺς ὕπνος μᾶς εὔφρανε· καὶ ἀφήνοντες τὸν μορφέα, πάλιν τὴν περιήγησιν ταύτης τῆς ἐρημικῆς μου βασιλείας ἠκολουθήσαμεν· τὴν ὁποίαν δὲν εἶναι δίκαιον νὰ τὴν ἀποξενώσῃ τινὰς ἀπ᾽ ἐμέ· ὅτι ἐγὼ ἤμουν ὁ Κολόμβος ὁποῦ τὴν ηὗρα· ἐγὼ ὁ Φερδινάνδος ὁποῦ τὴν ἐκυρίευσα· μήτε ὅμως φοβοῦμαι τὰ φιλοκερδῆ ἅρματα τῶν Κελτῶν, μήτε τὸν ριψωκίνδυνον τύφον τῶν Βρετανῶν, μήτε τὰς φιλαργύρους χεῖρας τῶν Βαταβῶν, μήτε τὴν ὑπεριφάνιαν ὀφρὺν τῶν Ἰσπανῶν. Διότι ἡ χώρα ὅλη τῆς βασιλείας μου ὑστερεῖται ἀπ᾽ ἐκεῖνα τὰ μέταλλα, καὶ τὰ βάλσαμα διὰ τὰ ὁποῖα αὐτοὶ τόσα αἵματα ἀθώων δεσποτῶν καὶ βασιλέων ἔχυσαν· καὶ τόσον εἶναι ἀγαπητὴ, καὶ πολύτιμος, ὁποῦ δὲν ἤθελα νὰ ἔχω μήτε τὸν πατέρα μου συμμέτοχον, μήτε ἄλλον τινὰ, πλὴν Χρυσάνθου Νοταρᾶ, τοῦ ἀοιδίμου πατριάρχου Ἱεροσολύμων, τοῦ ἀνεψιοῦ, καὶ διαδόχου τοῦ ἀοιδίμου ἐκείνου Δοσιθέου, καὶ Νικολάου Μαυροκορδάτου, τοῦ περιωνύμου ἡγεμόνος Οὐγκροβλαχίας, τοῦ καὶ πρότερον Μολδαβίας χρηματίσαντος, τοῦ υἱοῦ, καὶ διαδόχου τῆς δραγομανίας τοῦ ἀοιδήμου ἐκείνου Ἀλεξάνδρου τοῦ ἐξ ἀπορρήτων· ὅτι αὐτοὶ καὶ οἱ δύο ἠμποροῦσαν ἀναμφιβόλως νὰ αὐξήσουν, καὶ νὰ στολήσουν, τὸ μουσεῖον μου. Ἀγκαλὰ καὶ πολλοὶ νομίζουσιν, ὅτι δὲν εἶναι ἄλλοῦ ἄνδρες ἄξιοι. καὶ θαυμάσιοι, παρὰ ὅσοι πλέουσιν εἰς τὴν Ἑλλάδα ἀπὸ τὸν Ἀδρίαν, καὶ μεσόγαιον· καὶ ὅσοι περιϊόντες τὸν Ρῆνον, καὶ τὸν Ἴστρον, κατεβαίνουσιν εἰς τὴν Θράκην, καὶ Μακεδονίαν· οἱ ὁποῖοι ὅμως ὁμοῦ μετὰ σώματά των καὶ μελέτας μᾶς φέρουσιν ὡς ἐπὶ τὸ πλεῖστον τὸ πολοστὸν μέρος τῆς ἀγρίας, καὶ ψυχροτάτης αὐτῶν ἄρκτου. Διὰ νὰ περιγράψω τὴν ἀρετὴν, καὶ σοφίαν τοῦ Χρυσάνθου, ἐτύχαινε νὰ ἔχω γλώσσαν χρυσῆν, καὶ νοῦν ὁμηρικόν. Διατὶ καθὼς ἀναμεταξὺ τῶν Θεῶν, ὁ Ζεὺς ἦτον κράτιστος, μέγιστος, οὕτω καὶ αὐτὸς ἀναμεταξὺ τῶν τωρινῶν σοφῶν, ἐνομίσθη ὁ ἐξαίρετος ὕπατος. Καὶ καθὼς ὁ ἡγεμὼν Νικόλαος, τοῦ ἦτον φίλος ἀπὸ τῶν ὀλίγων ὁ πρῶτος, οὕτω καὶ εἰς τὴν μάθησιν τοῦ ἦτον ὁ πλησιέστατος· ζεῦγος φήμης πολλῆς, ζεῦγος μνήμης καλῆς, ζεῦγος σοφίας, ζεῦγος ἀξιαγάστου ἀρετῆς· ἦσαν καὶ οἱ δύο πολύγλωσσοι, ὅμως ὁ αὐθέντης Νικόλαος, ὡσὰν ὁποῦ ἐστάθη καὶ δραγομάνος τῆς Βλαχίας, ἐσυνωμίλει μὲ ὅλους τοὺς Εὐρωπαίους, καὶ μὲ πολλοὺς τῶν Ἀσιανῶν εὐφραδέστατα. Ἡ ἐρημία μου ποτὲ δὲν μὲ ἐλύπησε, παρά μόνον ὅταν ἤκουσα, εἰς αὐτὴν ὤντας,

τὸν θάνατον τούτων δύο περιβλέπτων ἀνδρῶν. Ἠθέλησε δὲ ὁ Θεὸς, νὰ μᾶς ἀφήσουν μεγάλην παρηγορίαν, καὶ ἀείμνηστον μνημόσυνον τῆς αὐτῶν ἀρετῆς. Ὁ γὰρ Πατριάρχης φαίνεται εἰς τὴν ὀνομαστοτάτην αὐτοῦ εἰς τὰ σφαιρικὰ εἰσαγωγὴν, ἀναβιοὺς Πρόκλος, καὶ Ἀρχιμήδης· ὁ δὲ Νικόλαος εἰς τὴν περὶ καθηκόντων βίβλον, δὶς μέχρι τοῦ νῦν τύποις ἑλληνικοῖς, καὶ λατινικοῖς ἐκδοθεῖσαν, νέος Κικέρων, καὶ Ἀμβρόσιος. Τὰ δ τούτου φιλοθέου πάρεργα ἔχουσιν ἔντιμον τόπον ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ τῶν Παρισίων χειρόγραφα. Πρὸς τούτοις ἄφηκεν ὁ εὐκλεέστατος ἡγεμὼν καὶ ζώσας εἰκόνας τοῦ προσώπου του, καὶ τῆς ἀρετῆς καὶ τοῦ θρόνου του τέσσαρα τούτων ἡ πρώτη ὁ Κωνσταντῖνος θάλπει μετὰ πραότητος, καὶ δικαιοσύνης τὴν καθέδραν του· ἡ δὲ δευτέρα Ἰωάννης ὁ περίβλεπτος Μπεϊζαδὲς μὲ ἐλπίδας χρηστὰς ἑτέρων δύο βλαστῶν, Ἀλεξάνδρου, καὶ Σουλτάνας. Μετὰ ταῦτα, ἐπανερχόμενος εἰς τὸ προκείμενον, ἐνθυμοῦμαι, ὅτι οὐ πολὺ προβαίνοντες, παρακινοῦντος μὲ τοῦ ἀγαπητοῦ φιλερήμου, διότι ἤλπιζε νὰ λάβῃ ἀκόμι περισσοτέραν τέρψιν, μηδαμῶς ἀποτώμενος· ἠκούσαμεν ἦχον τινὰ γλυκύτατον, καὶ ὑδάτων πολλῶν μουρμούρισμα, καὶ ἀκολουθοῦντες τὴν βοὴν, ἀνέβημεν εἰς παραμικρὸν λόφον· ὅθεν ἰδομεν ἕνα ποταμὸν, τοῦ ὁποίου ἡ πηγὴ εἰς μικροὺς λίθους, καὶ ρίζας δένδρων οὖσα περιπεπλεγμένη, καὶ διὰ ὀλίγον διάστημα ὀξὺ ρέουσα, ἐκείνην τὴν βοὴν ἐσχημάτιζεν· ἔπειτα ἔπιπτεν εἰς πεδιάδα τόσον ὁμαλὴν, διὰ τῆς ὁποίας τόσον ἥσυχα ἔτρεχεν, ὁποῦ ἂν δὲν εἴχαμεν ἰδῇ τὴν πηγὴν, δύσκολα ἠθέλαμεν γνωρίση πόθεν ἔρχεται, καὶ ποῖον μέρος ὑπάγει νὰ ποτίζῃ· δὲν ἔπαυε νὰ χαίρεται ὁ φιλέρημος· δὲν ἔπαυε δὲ καὶ νὰ ἐπαινῇ τὸν παντοτινὸν ἴσκιον τῶν δένδρων, τὴν κατάψυχρον δρόσον, τὴν χροερὰν, καὶ καταπράσινον θέαν τῶν τοῦ ποταμοῦ χειλέων, τὰς λεπτοτάτας αὔρας, ὁποῦ τὰ ὕδατα ἔπεμπαν, τὸ μελίφθογγον τῶν ποιητικῶν κύκνων κελάδημα· οἱ ὁποῖοι φιλόζωοι ὄντες, ἐκ πάντων τῶν μερῶν εἰς τὴν ἐρημίαν μου, ὡς εἰς ἄσυλον τόπον κατέφυγαν. Καὶ μὴ θαυμάσῃς, ὅτι τοιοῦτος λαὸς συντρέχει εἰς ταῦτα τὰ μέρη, διότι ὄντες τῶν Μουσῶν τρόφιμοι οἱ κύκνοι, καὶ τῆς ἀκακίας τέκνα, ἀγαπῶσι τὴν ἡσυχίαν ἐκείνην, τὴν ὁποίαν ἀφθόνως προξενεῖ ἡ ἐρημία, ἀθόρυβον κατοικίαν χορηγοῦσα. Ἔπαιζαν εἰς τὰ ἀμφότερα χείλη τοῦ ποταμοῦ, ἀπὸ ἔμφυτον ἔρωτα παρακινούμενοι δορκάδες, ἔλαφοι, αἶγες, λαγοὶ, καὶ ἄλλα παρόμοια, εἰς τόσον ὁποῦ τὰ βασιλικὰ ζωοτροφεῖα ἔχουσι τὶ νὰ φθονήσουν εἰς ἡμᾶς· καὶ δὲν μᾶς ἀφίνουσι νὰ ἐπιθυμήσωμεν, νὰ ἔχωμεν τὰ διάφορα, καὶ πολυάνθρωπα ἔθνη τῆς βασιλευούσης τῶν πόλεων Βυζαντίου, μήτε τῆς εὐρυχωροτάτης καθέδρας τῆς Γαλλίας Παρισίου. Ἀπ' ἐδῶ ἐξορίζονται κάντε ἑρπετὰ, κάντε πτηνὰ, κάντε τετράποδα αἱμοβόρα, ἢ ἰοβόλα ὁποῦ ἐνεδρεύουσι. καὶ ἐπιβουλεύονται τὴν ζωὴν τῶν ἀνθρώπων· τόσων, ὥστε πολλαῖς φοραῖς διὰ τὸ καῦμα παραδίδομεν εἰς τὰ χόρτα ἀναμεταξὺ τῶν ἀνθέων τὰ ἡμέτερα σώματα· καὶ μήτε σφῆκες βοῶσιν εἰς τὰς ἀκοάς μας, μήτε ὄφεις τριγύρωμας συρίζουσι· καὶ εἰς τὰ μέσα, καὶ πυκνότατα δάση ἄρκτων, ἢ λύκων ἁρπάγιον ἴχνη δὲν φαίνονται, καὶ τὰ ἥμερα ποίμνια δὲν φοβερίζουσιν. Ἀλλ' εἶναι ὅλα εἰρήνη, ὅλα ἡσυχία, ὅλα ἀσφάλεια, ὅλα χαρὰ, ὅλα ἄκακος ἡδονὴ, ὅλα δαψιλεστάτη τρυφή· τόσον ὁποῦ δὲν ἀμφιβάλλω πλέον ὅτι γράφοντες οἱ σοφώτατοι ποιηταὶ τὸν χρυσοῦν αἰῶνα, δὲν ψεύδονται· καθὼς μερικοὶ σοφισταὶ, ὁποῦ χάσκουσι μόνον εἰς τὰ νέα ἀναιδῶς τε καὶ ἀσυλλογίστως, καταφρονοῦντες τὴν σεβασμίαν παλαιότητα, διϊσχυρίζονται. Ταῦτα εἶναι τὰ κάλλη, καὶ ἡ τρυφαῖς ταύτης τῆς οἰκίας μου· ὅμως μὴ καταπειθῆς φιλόπολι, ὅτι ἐδυνήθην ἐγὼ νὰ τὰ περιγράψω ὅλα καὶ εἰς τρόπον ὁποῦ ἄλλος νὰ μὴν ἔχῃ τί νὰ προσθέσῃ· ἢ ὁποῦ τὰ ὄμματα νὰ μὴν ἠμπορέσουν νὰ ἰδοῦσι πολλὰ περισσότερα, καὶ ὡραιότερα· ὅθεν ἔρχου, καὶ ἴδε, καὶ ἔρρωσο.

Ἐκ τῆς ἀγροικῆς οἰκίας.

Δημήτριος Πιμπέρης Προκόπιος, ἀπὸ τὴν Ὄχριδα ἦτον θαρρῶ, ἢ ἀπὸ τὴν Μοσχόπολιν, ἰατροφιλόσοφος καὶ αὐτὸς, καὶ ἀμφοτεροδέξιος, ἤγουν ἐπιστήμων καὶ εἰς τὰ ἑλληνικὰ, καὶ εἰς τὰ λατινικὰ, καὶ συνωνύματος, καὶ σύγχρονος μὲ τὸν ἀνωτέω· ἀπέθανε δὲ καὶ αὐτὸς εἰς τὸ Βουκουρέστι, ὁ Θεὸς νὰ τοὺς συγχωρίσῃ καὶ τοὺς δύο, καλοὶ ἄνθρωποι καὶ οἱ δύο, καὶ στολὴ τοῦ Βουκουρεστίου καὶ οἱ δύο, καὶ ἔντιμοι κοντὰ εἰς τοὺς Αὐθέντας καὶ εἰς τοὺς Ἄρχοντας. Τοῦτος ἐσύνθεσε

Dimitrie Pamber Procopie, mi se pare că este din Ohrida, saŭ din Moshopol și acesta doctor și filosof și deșĕvârșit în amândouĕ, adică știutor și la grecește și latinește și cu acelașĭ nume și în acelaș timp cu cel maĭ de înainte. A murit și acesta la Bucureștĭ. D-ḑeŭ să'ĭ ĭerte pe amândoĭ, că eraŭ ómenĭ bunĭ amândoĭ și îmfrumusețarea Bucureștilor amândoĭ și respectațĭ de cătră Domnĭ și boerĭ. Acesta a compus diferite scrierĭ, prin

διάφορα, ἐξόχως δὲ τὸ ὑπόμνημα, ἦγον ἑρμηνεία εἰς τὴν ἀσπίδα τοῦ Ἡρακλέους, ποιηθεῖσαν ἀπὸ τὸν Ἡσίοδον, τὴν ἔχω· ἔτι καὶ δύο ἑκατοντάδας ἑλληνικῶν ἱστοριῶν πλατύτερον πρὸς σαφήνειαν ἔγραψεν· ὧν ἡ ἐπιγραφή.

escelente amintirĭ saŭ înterpretărĭ la scutu luĭ Hercul, făcută de Esiod, o am; apoĭ și doĭ seculĭ din scriitoriĭ grecĭ le aŭ scris maĭ pe larg pentru a fi înțeleșĭ, a cărora titlu este:

Le dăm numaĭ în original.

Συλλογὴ μύθων, καὶ ἱστοριῶν, ἐν ἐνίοις τῶν λόγων, καὶ διαλόγων τοῦ Λουκιανοῦ, καὶ ἐν ἄλλοις σποράδην, καὶ ἀκροθιγῶς μνημονευομένων· ἐρανισθεῖσα ἐκ διαφόρων Λατίνων καὶ Ἰταλῶν, καὶ εἰς ἑλληνικὴν φράσιν συνθεῖσα παρὰ Δημητρίου Παμπέρη Προκοπίου τοῦ ἰατροῦ, εἰς εὐχερεστέραν κατάληψιν τῶν σχολαζόντων εἰς τὰ μαθήματα· εἰσὶ δ' ὀλίγ' ἄττα καὶ αὐτολεξὶ ἐκ τῶν ἡμετέρων ἑλληνικῶν βίβλων ἀντιγεγραμμένα. Τοῦ δὲ ὑπομνήματος προηγοῦνται αἱ δύο αὗται ἐπιστολαί.

Γεωργίῳ τῷ ἐλλογιμωτάτῳ διδασκάλῳ Δημήτριος ὁ ἰατρὸς χαίρειν.

Συνεθέμην μέν, οὔπω δ' ἐθεασάμην εὐμενεῖ ὄμματι τὰ παρόντα ὑπομνήματα εἰς τὴν ἡσιόδειαν ἀσπίδα τοῦ Ἡρακλέους, εὐλαβούμενος τὸ φύσει φίλαυτον· ὑφ' οὗ συμβαίνει κολακεύεσθαι ῥᾳδίως, καὶ παραλογίζεσθαι ὡς τὰ πολλὰ τοὺς συγγράφοντας περὶ τὰ οἰκεῖα συγγράμματα· ταύτῃ τοι δίχ' ἀναβολῆς, ὑποτίθημι, φέρων αὐτά, τῇ σῇ κριτικωτάτῃ εὐθύνῃ. Κωμιζόμενος οὖν ἀσμένως, παραθεωρῶν τε τῷ ὀρθῷ τῶν λόγων κανόνι, ἀδεκάστῳ προθέσει, καὶ φιλαληθείας πνεύματι, μετάθες, ἄφελε, πρόσθες τὰ μὴ καλῶς ἔχοντα, τὰ περιττὰ, τὰ ἐλλείποντα· ἵν' ἐπαναλύσῃ πρὸς τὸν πέμψαντα, τοῦτο δὴ τὸ λεγόμενον, ἀντὶ Θερσίτου νηρεὺς, ἔρρωσο.

ᾳψλζ'. Ταμιλιῶνος ἑκτῃ μεσοῦντος.

Δημητρίῳ τῷ ἐξοχοτάτῳ ἰατρῷ Γεώργιος διδάσκαλος χαίρειν.

Ἀνέγνων τὴν ἐφαιστότευκτον ἀσπίδα τοῦ εὐσθενεστάτου τῶν ἡρώων, τὴν ἔπεσι μὲν ποιητῇ τῷ Ἡσιόδῳ ἐκφρασθεῖσαν, ὑπομνηματισθεῖσαν δέ σοι κάλλιστα, καὶ σαφέστατα· ἥτις σιδηροαργυροδιάχρυσος οὖσα, σχολίοις τοῖς σοῖς, οἷον ἀδαμασίτοις διακεκόσμηται. Ἀνθ' ὅτου ὡς Θεότευκτος, ἀντίτυπός τε καὶ δημητριοκόσμητος, εἴτις τῶν βασκάνων βέλη κατ' αὐτῆς ἐπαφιέναι τολμήσειε μώμου, ταῦτα στερρῶς ἀποκρούσεται, καὶ ἀντεπαφήσει κατὰ τοῦ βάλλοντος ἔρρωσο [153]).

Λάζαρος Σκρίβας, Τραπεζούντιος, ἐπιστήμων· ὁ ὁποῖος καὶ αὐτὸς ἐπαινεῖ τὸ ὑπόμνημα, διὰ τῆς ἐπιστολῆς ταύτης.

Lazăr Scriba Trapezundian, om de știință, care și acesta laudă scrierea amintită prin acéstă epistolă [154]).

Dăm acéstă epistolă numaĭ în original.

Διελθόντι μοι μετὰ σκέψεως τὰ παρόντα σχόλια, πολλοῦ ἄξιον μέχρι τέλους ἀπήντησε τὸ ὑπόμνημα, τῷ ὄντι τοῦ σοῦ νοὸς γνήσιον ἀπόκυημα. Ἑρμηνεύθη καλῶς, συνθήκην φέρει λέξεων τῇ ὑποθέσει κατάλληλον· ἐμέλησε δὲ αὐτῷ καὶ τῶν μύθων, ὧν ἡ ἄγνοια μακρὰν ἐμποιεῖ, ἀηδίαν τοῖς τῶν παλαιῶν συγγράμμασιν ἐντυγχάνουσι. Καὶ καθόλου τὸν τῶν ἀρχαίων μιμεῖται τύπον, οὔτε τοῦ δέοντος ἀποδέον, οὔτε μὴν περιττεύον τῆς χρείας, ἔρρωσο. Ἑκατομβαιῶνος ἐννάτῃ μεσοῦντος [155]).

Ἰωακεὶμ Βοῦρος Καββᾶκος, Χῖος, διδάσκαλος τῆς ἐν Χίῳ σχολῆς, ὁ ἐλεήμων, ὅθεν ὅταν ἀπέθανεν, εἶπασιν, ὅτι ἐφάνη τυπωμένος σταυρὸς εἰς τὴν δεξιάν του.

Εὐστράτιος Ἀργέντης Χῖος, ἰατροφιλόσοφος, ἀμφοτεροδέξιος πρὸς αὐτὸν ὁ Ἀλεξανδρείας Κοσμᾶς ἔγραψε τὴν ἐπιστολὴν ταύτην.

Ióchim Buros, Cavac, Hiot, profesor în scóla din Hio, milostiv, de acea când a murit, ḑic, că s'a arĕtat o cruce imprimată în mâna sa cea dréptă.

Eustratie Argente, Hiot, doctor și filosof abil, cătră acesta Cosma al Alexandrieĭ a scris următórea epistolă:

O dăm acéstă epistolă numaĭ în original.

port și plecând din oraș după resăritul sóreluĭ, apucaĭ calea spre Lemnos, care mĕ duse cât maĭ răpide în marea Elespontuluĭ. Atuncĭ venind o nópte întunecósă și fără veste cuprinḑênd vasul, o vijelie cumplită rupse cu multă răpegĭune funiele de dinainte, sfâșie vêntrele cu frânghiele și cărmele naveĭ, în cât acésta risca a se cufunda în adênc cu ómenĭ cu tot. In acéstă împregĭurare fiind fórte amenințațĭ de întunericul furtuneĭ, de isbirele vênturilor răpeḑĭ, ce se bățéŭ între dênsele, și de loviturele puternicilor talazurĭ, de óre-ce și marea pare-că într'adins se luptă cu noĭ, ne duceam cât maĭ iute la infern, stând la mijloc între viață și mórte, ba de ce în ce maĭ mult desperându-ne de viață [55]). Decĭ, cu totul desperațĭ suspinând cu bocete. și încremeniță de mărimea pericululuĭ, maĭ conținend furtuna în ḑorĭ de ḑiuă, cu resărirea sóreluĭ, împrăștiindu-se și negura cea întinsă, și strălucind o ḑi zîmbitóre am maĭ prins la suflet și a doua ḑi cu vênturĭ maĭ line întrarăm în portul insuleĭ.

Decĭ, după-ce debarcarăm aicĭ, suindu-ne cu respirare gâfuitóre pe un munte situat lângă oraș, înalt și drept în sus, în care era cetățuia, am aflat pe Eroul cel isolat acolo și în singurătate, respingênd prin o cugetare în adevĕr de filosof nourul calamităților. Și decĭ în necontenitele întâlnirĭ cu dênsul de tótă ḑiua înșiram cuvinte sfătuitóre de înlăturarea tristeței, voind a da órecare consolațiune celuĭ în suferințe. Dar ne-am încredințat că în van îmboldĭam vigórea și bărbăția permanentă în sufletul sĕŭ căcĭ în preceptele și sfaturile nóstre amintindu-ĭ de tăria curagĭuluĭ și de nepăsirea frumóselor luĭ dispositiunĭ, pentru ca să nu se afunde de tot în descuragĭare, și întinḑênd prea mult tristeța, să se rupă așa ḑicênd sfóra, ne-am convins cum ḑice vorba, că ducem cocovauă la Atena, și învĕțăm delfinul să înnóte [56]). Decĭ petrecênd așa îndestul timp în acéstă locuință abjectă, și vețuind între spiniĭ ceĭ resăriță din durerĭ, câte-o-dată ne ducém la litoralul măreĭ spre a ne recori arșița cea înfocată a inimeĭ ceĭ învăpăete, altă-dată pe culmea munteluĭ, orĭ apropiindu-ne de vre-o grădină, veselĭ ne recream de aspectul frumuseței natureĭ, în cât rana se vindecă întru cât-va, și pentru puțin scăparăm de suferință.

Κόρον δὲ τελευταῖον τῆς ἐκεῖσε διατριβῆς ἐσχηκότες, καὶ τὸν ὀδυνηρὸν τοῦ χρόνου ῥοῦν ἀποτροπιαζόμενοι ἐς τὸ ἀνακτόρειον πάλιν ἄστυ ἀναλύειν βεβουλεύμεθα. Καὶ γὰρ τοῦ λημναίου ναυστάθμου ἄραντες ἀναπεπετασμένοις καὶ πνεύματος ῥύμῃ διογκουμένοις ἱστίοις τὴν ἐξόδριας διεπλεύσαμεν ναυτηλίαν, τὸν πορθμὸν ὅσον τάχος τὸν ἑλλησπόντειον παραμείψαντες· κυμαινομένης οὖν τηνικαῦτα ἐξ ὑπογυίου τῆς θαλάσσης, καὶ αὖθις περὶ τὸν ἡράκλειον πόντον ἡ ναῦς σάλῳ κεκίνηται, καὶ καταιγίδι ἐμπεριπεσοῦσα δεινῇ, μάλα μόλις παρὰ τὴν δευτεραίαν τὸν τῆς προποντίδος πλοῦν παρηλλάξατο, δυσχερῶς πως ἐφικνουμένη τῆς πόλεως· ἐπείπερ δέ καὶ δέλτον τινὰ ἐληλύθαμεν φέροντες πρὸς τοῦ ὑπερορίου ἄρχοντος ἀναγεγραμμένην, ἐν ᾗ τὰ τῇ προλαβούσῃ ἀρχῇ ἐμπαροραρτήσαντα, καὶ γε οὖν τῆς καραδοκουμένης τῇ ἀνακτήσει, καὶ τῇ τῶν λυπηρῶν ἀπαλλαγῇ προσανήκοντα, νουνεχῶς ἐσχεδίασται, νέα παραχρῆμα καθ' ἡμῶν διερράγη ἐκβολὴ τῶν δεινῶν, ἁπανταχῇ τοῦ χωρίου ἐκπλημμυροῦσα, καὶ προσκατακλύζουσα· αὐτίκα μὲν γὰρ οἱ τοὔμπροσθεν ἑταῖροι τῶν πυξίων τοὺς κομηστάς, ἅτε τῇ σφῶν σκευωρίᾳ ἀπάδοντα ἐνηνοχότας ἐντάλματα, λήροις τε καὶ φληνάφοις διηκόντιζον τοὺς ἐχέφρονας οἱ ἐμβρόντητοι, καὶ τοὺς ἐλευθέρους τὴν διάνοιαν οἱ χαμαίζηλοι, φρενολήπτους καὶ παραπλῆγας ἀποφαινόμενοι· οἱ δὲ τέως πολέμιοι τὸν ἡμέτερον κατεπείγοντες ὄλεθρον, ὀξὺ διεμάχοντο, καὶ μοχθηρᾷ ὁτιοῦν παλάμῃ προσμηχανώμενοι τῷ τῶν παλαμναίων δεσμωτηρίῳ τὸν πόρρω που ταῖς ὀδύναις ἐντεθραμμένον, καὶ ἀνυπεύθυνον, τελευτῶντες προσήγαγον.

αψν. Φεῦ τῆς ἀθεμίτου πράξεως, βαβαὶ τοῦ μιαροῦ ἀνομήματος, ἐνταῦθα μοι ἀναπολοῦντι τὸ γεγονὸς, ἀνεπίσχετοι πηγαὶ δακρύων καταῤῥέουσι τῶν παρειῶν, καὶ μὴν ἐπισχετλιάζων ἐφ' οἷς τετόξευμαι βέλεσι, καὶ τῇ θρηνωδίᾳ προστετηκὼς τῷ ἐμβριθεῖ ἄλγει ὁλοσχερῶς ἐκλύομαι προσδαπανώμενος· κῆρα μ ν γὰρ τὶς ἂν διανοήσειε στυφωδεστέραν; τὶς ἂν ἰδοι ἱστὸν πεπρωμένης δεινότερον; κατοίδαμεν γὰρ τοι κλονούμενα τὰ τῶν ἀνθρωπίνων πραγμάτων ἐδράσματα, ἅττα ἤ ἂν ποιοίη χειμάῤῥους καταῤῥέων χαράδρας περιετρέψατο παρασύρων ὁ χρόνος· τεθεάμεθα οὖν τὸν πρὸς τοῦ ἄνακτος κύδιστον καὶ προεστεμμένον ὀλιγωρίᾳ παρεντυχόντα τὸν ποδηγέτην τοῦ λαοῦ εἱρκτῇ ἐμπεπεδημένον, τὸ τῆς Ἑλλάδος κλέος ἀμαυρωθὲν, καὶ ἁπαξάπασαν κατεστραμμένην τὴν ὄψιν τῆς παρελθούσης εὐκλείας, καὶ μηδαμῇ μένουσαν τὸ παράπαν· ἀλλὰ μὴν καὶ τούτοις ὁ ἄλκιμος προσκαρτερήσας οἷα τῇ πείρᾳ μεμαθηκὼς οὐ διεκάμπτετο τὴν εὐανδρίαν, καὶ μάλα κολοφῶνος τῆς ἀ-

In fine, săturându-mĕ de petrecerea de acolo și voind a înlătura supĕrăcĭosul curs al timpuluĭ, am decis a mĕ reîntórce ĭarăși în orașul împĕrătesc. Pornind decĭ din portul Lemnos cu ventrele deschise și îmflate de răpegĭunea vêntuluĭ, am plutit bine pe mare, trecênd cât maĭ ĭute strîmtórea Elespontuluĭ. Dar atuncĭ de-o-dată învăluindu-se marea, nava ĭarăși se agita de val, tot în marea Eracleĭană, și cuprinsă de o cumplită furtună abĭa-abĭa scăpă a doua ḑi de plutirea în Propontida, cu anevoe ajungênd în oraș. Dar fiind-că cu venirea nóstră am adus și o scrisóre scrisă de principele exilat, în care rațional eraŭ descrise cele ce urmasă în domnia precedentă, și maĭ ales cele cuvenite pentru recâștigarea uneĭ domniĭ așteptate, și pentru scăparea de supărărĭ, deo-dată irupsă asupra nóstră o nouă revĕrsare de nenorocirĭ, revĕrsându-se ca un potop preste tot locul. Căcĭ îndată socĭĭ noștri de maĭ 'nainte începură a împrosca cu bârfirĭ și fleacurĭ pe purtătorĭĭ scrisorilor, de óre-ce adusese informărĭ nepotrivite intrigeĭ lor, pentru care însușĭ fiind smintiți, numĭaŭ nebunĭ pre ceĭ cu minte, și eĭ tărîtorĭĭ trataŭ de nesimțitorĭ pre ceĭ cu cuget liber. Iar dușmanĭĭ de până acum grăbind perderea nóstră, cumplit luptaŭ, și cu reutăcĭósă uneltire intrigând în tot chipul, în fine întroduseră în temnița criminalilor pre cel îndelung acum trăit în suferințĭ și neresponsabil.

1750. O ce faptă nelegală! vaĭ ce nelegĭuire pângărită! Aicĭ amintindu-mĭ de acea întêmplare, sorginți de lacrimĭ fără voe îmĭ curg pe față, văetându-mĕ încă de săgețele cu care fuĭ săgetat, și topit de bocete, mĕ perd cu totul consumat de adêncă durere. Că cine 'și-ar închipui o ursită mai apăsătóre? Cine ar putea vedea o urzire de sórtă maĭ aspră? Vĕḑut-am în adevĕr clătindu-se temeliele lucrurilor omenești, pre care tîrîndu-le timpul le-a resturnat, cum ar face un torent revărsându-se prin surpăturĭ. Așa fel am privit pre cel ilustru și maĭ 'nainte încununat de împĕratul, întîmpinat cu despreț, pre conducĕtorul poporuluĭ legat în carceră, gloria Eladeĭ întunecată, și aspectul faleĭ trecute cu totul distrusă și nelăsând nicĭ o urmă. Cu tóte acestea, vitézul persistând ca cel ce avea esperiență în aceste, n'a slăbit în bărbăție, ci maĭ ales dorind

ρετῆς ἐριεμένος ἐς κορωνίδα ἐπαίνων προσελήλακεν ὄλβιος.

Ὦ δὲ μὲν οὖν προπηλακισμοῖς τηλικούτοις ἐνειλημένους, καὶ τοσαύταις ἀτυχίαις περιπλακέντας ἐξαίφνης ἐπιστίλβουσα θεία τις ἐπικουρία τοῦ κρείττονος πλοκῆς ἀνέπτυξε τῆς γορδίας, καὶ δὴ τῆς τε εἰρκτῆς καὶ ὑπερορίας τοὺς ἀμφὶ τὸν ἡγεμόνα ἐξέλκουσα ἐς τὴν βασίλειον ἕδραν δημοσίῳ κελεύσματι ἀναποδίσαντα ἡμῖν τὸν ἐπέραστον ἐχαρίσατο· τότε μέντοι πλοίῳ κατάραντα, καὶ προσεληλυθότα τῇ ἠϊόνι τῆς χώρας γαμετὴ, τέκνα, ὁμαίμονες, ἄρχοντες, πρόσπολοι καὶ οἰκέται, θεραπαινίδες, καὶ φίλοις ἅμα ἅπας ὁ ὅμιλος τῶν ἐκεῖσε παραγενομένων, οὐχ ἥκιστα καὶ ἀλλαχόθεν προσφοιτώντων μετὰ πλείονος τῆς θυμηδίας προσεδέξαντο, δακρύοις θαμὰ ἀποῤῥέουσι τῶν ὀμμάτων, τὴν τῆς παρεκπηδώσης ψυχῆς διάχυσιν ἐπενδεικνύμενοι· μετήλλακται γοῦν δαιμονίως τὰ ἔχθιστα καὶ δυσχερῆ ἐς ἥδιστα καὶ τερπνὰ, εἰς εὐπρόσωπα καὶ εὐδιάλλακτα τὰ αἴσχια καὶ δυσέντευκτα· ἀλλαμὴν οὐ παρεξετάνθη οἴμοι τῷ μήκει τοῦ ἐπιῤῥέοντος χρόνου ἡ προσβαλοῦσα αἰθρία, ἀλλὰ τοὐναντίον αὖ ἐπαιωρούμενα τὰ νέφη καὶ ἀθροιζόμενα νυκτὶ τὸ φαεινὸν καὶ εὔδιον παρεκάλυπτο, καὶ ὄμβρους παρέχεον πικροτέρων ναμάτων· πρὸ πάντων μὲν γὰρ οὐκ ἔλαθον οἱ πρόκριτοι τῶν θεραπόντων οἱ συμμῦσται τῆς βουλῆς οἱ ἀμύητοι πάνυ ἀγνωμονοῦντες, καὶ ἀριδήλως καταλελοίπασιν οἱ εὖ πεπονθότες τὸν εὖ ποιούμενον, τὸν πλουτίσαντα οἱ πεπλουτηκότες, τὸν εὐμενῆ καὶ γενναῖον οἱ ἀγελαῖοι καὶ ἀπαναίσχυντοι δυσμενεῖς· οὗτοι μὲν ἀγαθὰ κεκτημένοι οἱ ἀναιδεῖς, καὶ πλούτου περιουσίαν ἐν μεγάροις πολυτελέσιν οἰκουροῦσι χλιδῶντες, καὶ ἄγαν διαθρυπτόμενοι, ἀνέστιον δὲ οἱ προγάστορες καὶ ἐν πολυτελείᾳ ῥαστωνεύοντες, καθορῶσι τὸν σφῶν αὐτῶν εὐεργέτην πενίᾳ τε συζῶντα καὶ κακουχούμενον· τοῖς δὲ γοῦν κἄπειτα τοῖς ἀπωμότοις ἐφ' ᾧ τῶν ἀτυχημάτων τὴν πληθὺν ἀπαρτίσασθαι, καὶ τραπεζῖται συνεμίγησαν δεινοποιοὶ δανεισταί τε βιομήχανοι ἐπὶ χρήμασι παρενοχλοῦντες, καὶ φυλακῇ καθειργνῦντες, τὸν ἐν ἀδρανείᾳ ἀμηχανοῦντα· οὐχ ἥκιστα δὲ καὶ οἱ ὑπὸ μιαρᾷ παλάμῃ καὶ πολυσχεδοῦς διαβολῆς συσκευῇ τὸ δίκαιον ψευσάμενοι ἀναιδῶς πλαστοῖς καὶ μηθὲν ἐχομένοις τῆς ἀληθείας τεχνάσμασιν, ἐς δικαστήρια διασύροντες, καὶ πολλαχῇ ἐπισπῶντες τὸν μὲν ἀνυπόδικον, πᾶσι δὲ ἐῤῥωμενέστατα προσπαλαίοντα.

ᾰψγ. Καὶ μέντοι ἅτε δὴ εὐπορούσης ἐπὶ μηχανήμασι τῆς μισοκαλίας, καὶ πολυγονίας δεινῶν ὁσημέραι ἀντιποιουμένου τοῦ φθόνου οἱ τῶν πολεμίων ὑπουλότεροι, ὧν τέως ἔδρασαν τῇ σκαιότητι culmea virtuței se înalță fericitul la cununa laudelor.

Deci, asupra celor așa copleșiți de atâtea batjocuri și străbătuți de atâtea nenorociri, de-o-dată lucind un ajutor divin de la cel prea puternic, desfăcu nodul gordianu [57]), și prin urmare scoțând din închisóre și de la exiliu pre principe cu ceĭ ce-'l însoțiaŭ, prin ordin public reîntors în capitală ni se dărui cel prea ĭubit. Atuncĭ venind cu corabia și apropiându-se de țĕrmul țĕreĭ cu multă bucurie l'aŭ primit soția, copiĭ, consângeniĭ, boerĭ, domesticĭ, servitorĭ servitóre și împreună cu amicĭĭ tótă mulțimea celor ce venise acolo, pre cum și ceĭ ce alergase de pe aĭurea ; și multe lacrimĭ curse din ochiĭ lor arătând veselia sufletuluĭ celuĭ emoționat. In urmare, într'un chip minunat să prefăcu dușmăniile și supărările în plăceri și veseliĭ, urîtoriĭ și neprimitoriĭ în zâmbitori și îmbunători. Insă, vaĭ ! seninul arĕtat nu se prelungi îndelung în decursul timpuluĭ, ci din contra ĭarășĭ rădicându-se și adunându-se nuoriĭ acoperiră cu nópte lucirea și alinarea, și vĕrsau gridinĭ de ape maĭ amare. Căcĭ se arĕtară pe față fórte nerecunoscĕtorĭ maĭ cu sémă ceĭ maĭ distinși dintre servitorĭ, compărtașiĭ și necompărtașiĭ sfatuluĭ sĕŭ, și fórte arĕtat părăsiră ceĭ bine-făcuți pre bine-făcător, ceĭ înavuțiți pre înavuțitor, rĕŭ-voitoriĭ josnicĭ și nerușinați pre cel bine voitoriŭ și generos. Acești nerușinați posedând bunurĭ și prisos de avere petrec în palate luxóse resfățându-se și fórte desmerdându-se, ba pânticoșiĭ și ceĭ ce se îmbuibézĕ în luxurie privesc pre bine-facĕtorul lor fără vatră trăind și chinuindu-se în sĕrăcie. Și în urmă, spre a se deplini mulțimea nenorocirilor, cu acești abjurătorĭ se amestecară zărafĭ asupritorĭ, și creditorĭ industriași, carĭ supĕraŭ pentru banĭ pre cel lipsit din neputința de a lucra, și-'l închidéŭ în închisorĭ. Numaĭ puțin și ceĭ ce cu mână criminală și prin uneltire de multiplă viclenie, nerușinos falsificând dreptul, cu măestrĭĭ plăsmuite și necuprinzĕtóre de nicĭ un adevĕr, trăgeaŭ la tribunale și în tóte părțile tîraŭ pre cel ce nu era de dat judecățeĭ, dar carele vĕrtos se lupta cu toți.

(1753). Însă fiind-că rĕutatea abundézĕ în intrigĭ și pisma întreprinde ḍilnic sporirea nenorocirilor, dușmanĭĭ ceĭ maĭ vicleni spre a face vêrf mulțimeĭ rĕutăților, ce lucrasă

καὶ πληβοῦϊ κολοφῶνα ἐπιθησόμενοι ἐπὶ καταλύσει τῶν περὶ τὸν ἡγεμόνα, νόσου τινὸς ἄρτι ἀνασφηλάντων, ἕτερον αὖ ἀπογραφῆς ψήφισμα ἐξήνεγκον, ὡς δὴ τὰ τῆς Δακίας καταστασιάζοντα, καὶ συνθράττοντα τὸ ὑπήκοον, τουτονὶ ἐς Λέσβον αὖθις ἀποκρουσόμενοι ὑπερόριον. ὧδὲ πως οὖν τῆς μοχθηρίας τὴν τοῦ δικαίου περιβολὴν ἠμφιεσμένης, καὶ ἐπὶ τῆς βασιλείας αὐλῆς ὥσπερ ἐν δράματι τῷ τῶν δεόντων προσωπείῳ τὰ τῆς Θέμιδος ὑποκρινομένης, καιρίως ὁ ἀνυπεύθυνος τέτρωται, καὶ τῷ τῆς δικαιοσύνης προσχήματι ὁ τῇ δίκῃ προσεδρεύων κατήργηται στηλιτευόμενος· ἀλλὰ μὴν τοῦ Θείου ὀπηνίκα ὁ ῥοῦς τῶν δεινῶν ἀκατασχέτῳ ῥοῇ καθορμησάμενος, στιβαρώτερον ἐπεσκήψατο, τηνικαῦτα ὡς εἰκὸς ἀρωγῇ ἀντιτρυτανεύσαντος τὴν ῥοπὴν, ἡ ὑπὲρ τῶν πεπτωκότων προσαυνομένη δύναμις, καὶ καταβεβλημένους ἀντεπερείδουσα καὶ ἀνιστῶσα, φροῦδα κἀνταῦθα ἀπέφηνε καὶ κενὰ τῶν ἐνεδρευσάντων ἐναντίων τὰ μηχανήματα, τοῖς ἀμφὶ τὸν ἡγεμόνα ἐξ ὑπογείου ἄμυναν παρασχοῦσα κἀκεῖνον τοῦ ὑπερόριον γενέσθαι ἀνθέλξασα, καὶ ἐξελοῦσα ἐς χρόνου παράλλαξιν, μετ' οὐ πολὺ αὖ βασιλείῳ νεύματι τῆς παρενεχθείσης προγραφῆς ἀπαλλαγέντα, καὶ τῆς ἐπὶ τὴν εἰς τὰ ἴδια ἐπάνοδον ἀδείας τετυχηκότα.

αψνε. Ἀλλ' ἐν τούτοις μὲν οὐκ ἐπάυσατο τῆς κατ' αὐτὸν περιπετείας τὸν τάραχον ἐπικυμαίνων ὁ σάλος, οὐ δὲ τοὐτεῦθεν ἀχείμαστος ἐν εὐδίᾳ ὁ πλοῦς διήνυται τῷ ἀριστεῖ· καὶ δὴ τῆς τῶν συμφορῶν ἐπηρείας συνακμαζούσης τῷ χρόνῳ, τῆς γε ἀτασθαλίας τῶν πολεμίων ἀποστόργου σκευωρήματος ἀνενδοιάστως ἐμφορουμένων, ὁ σημέραι ἐπὶ τὰ δεινότερα οἰστρηλατούσης, καινῷ αὖ πάλιν ἀπογροφῆς ἐπιτάγματι ἐρήμην ἑάλω, καὶ δὴ ἐς Χῖον τὰ νῦν παραπέμπεται ὑπερόριος· τοιγαροῦν νέου ἄνακτος τὰς ἡνίας τοῦ κράτους ἐπὶ καταστροφῇ βίου τοῦ προανάξαντος βασιλέως ἄρτι ἐν Βύζαντος προσαναδεξομένου, ἐπειδὰν ὁ τῆς μεγάλης ἀρχῆς ὕπατος ἅμα τῷ τῶν πραγμάτων οὐτὸν προστάντα ἐπὶ τὸ ποδηγετεῖν ἡνίοχον ἀναρρηθῆναι, τῆς ἡνιοχείας ἐξαπίνης ἀφίστατο ἐκκρουόμενος, ἐχθαίροντες ἁπαξαπλῶς οἱ ἀντίπαλοι, καὶ τῇ κατὰ τὴν ἡγεμονίαν ἑαυτοῦ ἀνακλήσει περὶ τὰς ἡμέρας ἐκείνας ἀνιώμενοι. προσεσχηκέναι τὸν ἄνδρα, τὸν ὀστρακισμὸν ἐφ' ᾧ πρόῤῥιζον τοῦ ἄστεος αὐτὸν ἀνασπάσασθαι, ἔχθους παραμυθίαν ἐνενόησαν, οὐχ ὅπως τὸ Θεῖον συνόλως καταιδεσθέντες, ἀλλὰ καὶ τὰς λοιδορίας τῶν εὖ φρονούντων, μηδὲ τὸ παράπαν καταδυόμενοι, λύσσης γὰρ φιλοπλουτούσης ἐς ἀπειροκαλίαν μυωπίσαι δεινῆς, καὶ ἐκτόπου μανίας ἐμπνέοντες οἷα τοῖς ἑαυτῶν κέρδεσι προσπεπονθότες, τὸν μὴ ταῖς εὐθύ-

până acum, pentru ruina celor din giurul principeluĭ, rîdicaţi decurênd de pe o bólă, aŭ făcut a se eda ĭarăşĭ un decret de proscriere, că adecă el ar rescula şi turbura locuitoriĭ Dacieĭ, pentru care voĭaŭ ĭarăşĭ a-'l îndepărta exilat în Lesbos. In aşa chip rĕutatea învestind mantia dreptuluĭ şi presentându-se la curtea împĕrătéscă, ca în dramă, sub masca celor ce cer dreptate, răni greu pre cel nevinovat şi sub pretextul dreptăţeĭ, pusă la oprire desonorat pre cel ce adăsta dreptatea. Dar când şiroĭul calamităţilor, pornit cu o răpegĭune neoprită se aruncă preste dênsul maĭ tare, atuncĭ divinitatea prin ajutorul sĕŭ, cu dreptul contra-cumpănind pornirea, şi cu puterea sa ajutorând celor căduţi, sprijinind şi rîdicând pre ceĭ surpaţi, şi în acéstă împregĭurare, făcu vane şi deşerte machinaţiunile intriganţilor contrarĭ, pe neaşteptate înlesnind ajutor celor din giurul principeluĭ, şi oprind ca dênsul să fie dus în exil, îl scăpă până la schimbarea timpuluĭ; nu mult însă după accsta eliberat ĭarăşĭ prin voinţa împĕrătéscă de proscripţiunea cea nedréptă, obţinu permisiunea de reîntórcere la casa sa.

(1755). Dar între acestea valul n'a încetat învăluind turburarea peripeţieĭ luĭ de atuncĭ, nicĭ de aicĭ înainte vitézul nu 'şĭ-a terminat navigarea în linişte fără furtună. In adevĕr, atacul nenorocirilor crescênd cu timpul, şi cutezanţa inamicilor, plinĭ fără îndoire de uneltire duşmană, întărîtându-se pe fie-ce ḑi tot maĭ cumplit, făcu a fi ĭarăşĭ condemnat în lipsă prin un noŭ ordin de proscripţiune, şi dar de astă dată este si trimis exilat în Chios. In acest timp un noŭ împĕrat primise de curând în Bizant frînele statuluĭ după mórtea precedentuluĭ împĕrat, şi fiind-că vizirul mareĭ împĕrăţiĭ îndată ce fu proclamat cârmuiror suprem spre conducerea afacerilor, şi fu îndepărtat, fără veste fiind respins de la cârmă [58]), atuncĭ adversariĭ principeluĭ întărîtându-se cu totul şi supărându-se contra luĭ pentru că în acele ḑile încercase rechĭemarea sa la domnie, 'şĭ-aŭ pus în minte, spre resuflul duşmănieĭ lor, ostracismul luĭ, ca aşa să-'l desrădăcineze cu totul din oraş, nu numaĭ neruşinându-se nicĭ cum de D-ḑeŭ, dar nesfiindu-se de loc nicĭ de mustrările celor înţeleptĭ: căcĭ turbarea ce prea se resfăţéză în despreţul bineluĭ era în stare a-ĭ înfuria.

ναις ὑπόδικον, ὡς πάσης τῶν δεινῶν ἀνακύψεως, ἐλπίδος τε μετεωρισμοῦ ἀποστήσαιντο, καὶ τὴν παρ' αὐτῶν τυραννουμένην ἀρχὴν τὸ ἀμφίκρημνον τοῦ καιροῦ δεδιότες νευρώσειαν ἐμπεδώσαντες τῷ τῆς ὑπεροπίας προστημήματι ὑπαγαγέσθαι, μάλαγε ἀπεικότως ἐμηχάνησαντο. Τοῦτο δήπου ὡς ἔοικε διημφισβήτουν τρανῶς οἱ δοκόφρονες, καὶ οἷοι τῷ δέοντι μὴ ἀνασειράζεσθαι τῶν ἀνθέσμων, τὸ τῆς ἀρχῆς ἐγκαλλώπισμα σφίσιν αὐτοῖς ὡς ἐπιβάλλοντι ἰδίᾳ προσῳκειῶσθαι, καὶ μόνοις ἐφαρμοσθῆναι, ἐξὸν ὡς ἔοικε πάντων ἀναίδην καθυλακτεῖν, καὶ ἄσχετον καταστρηνιᾶν τοῖς δυσπαράδεκτον εἶναι ἐπιλογιζομένοις τὸν πάλαι γεννάδα, καὶ περιττὸν τὴν ἐμβρίθειαν, ἐμφρόνως τε τῷ πολιτεύματι ἐπεγγεγυμνασμένον, μὴ τῇ ἀλλοδαπῇ, ἵνα αὐτοὶ ἢ ἄν τύχῃ κατάρξωσι, προσδιαιτᾶσθαι λυγρῶς, καὶ τηκεδόνι ὑποπιέζεσθαι· τοῦτο τοίνυν φιλαυτίας, καὶ ταύτῃ παρεφεστηκότος φθόνου τὸ ἐπ' ἀνθρώπους ἐξεμούμενον φάρμακον, καὶ ἡ ὕπουλος μαγγανεία τῆς μὲν ἀναφανδὸν ἀποσυλώσης τὰ δίκαια, τοῦ δὲ ἐς τοσοῦτον τοῖς καθήκουσιν ἐπιλυμαινομένου λαθραίως, καὶ αὐτῶν κατατολμῶντος, ὥστε τοὺς θεοστυγεῖς ἐκείνους πρὸς τῷ ἦν ἔλαχον χώραν συλοχρηματοῦντας λείζεσθαι, τῇ κατὰ τὸ ἐγχωροῦν ἰχνηλασίᾳ τῶν τοῦ δυσπραγοῦντος ταπάρχου πράξεων, καὶ τῷ περὶ αὐτὰς ῥεμβασμῷ τῆς πονηρίας ἑαυτοῖς ἐξαρεσκουμένους, καὶ ὡσανεὶ ἔναυσμα μισοκαλίας τὴν ἀρετὴν εἰληφότας, αὐτὸν ἐκπολλοῦ τοῦ περιόντος ἐπὶ τὴν νῆσον φυγάδα, καὶ τῆς ἑαυτοῦ ἐστίας ἀπεσχημένως παρεκρούοντα· συγκαθελκῦσαι· ἐνταυθὶ μὲν οὖν τοῦ χωρίου τῇ τῶν λυπηρῶν ἀπερισπάστῳ διαδοχῇ ἐξησκημένης ἤδη τῆς γνώμης, καὶ δῆθεν τὸ ἐπὶ τὰ δεινὰ οἱονεὶ ἀντίτυπον καὶ τυλῶδες, τῇ πείρᾳ προσκτησαμένης ὥς περ πάλαι που λήματι εἴωθε ταῖς συμφοραῖς ἐνδιατρίψαι τοῦ βλοσυροῦ τῆς τύχης ὑπερφρονήσας ὁ ἥρως τῇ περὶ τὰ θεῖα μελέτῃ, καὶ περὶ λόγους διατριβῇ, τὴν φιλόσοφον αὖ ἀντιτεθωράκισται πανοπλίαν, τὴν περιπέτειαν ἀποδεξάμενος τῶν ἀνθρωπίνων, καὶ ἄττα οὐκ ἄν ἔνι ἀποφυγεῖν, ταῦτα ἀντίῤῥοπος στέγων καρτερόφρονι λογισμῷ, καὶ προθύμως ἐγκολπιζόμενος.

Τοιᾷ δε ἄρα εἰσβολῇ τῶν ἐπηρεαζόντων κακῶν τὸ τηλαυγὲς κατερῥύη καὶ ἀνθηρὸν τῆς ἐπιθαλλούσης ἡμῶν εὐδαιμονίας, καὶ δὴ ἐπταετίαν μέχρι

Pentru care respirând turbare nesocotită ca ceĭ ce eraŭ alipiţĭ numaĭ de câştigurile lor, ca să facă pre cel nevinovat de vr'o culpă să renunţă la orĭ ce gând a se maĭ rîdica din nevoĭ şi a trage speranţe, prea cu nedreptul aŭ intrigat de a'l supune la pedépsa exiliuluĭ, ca aşa statornic să-şĭ întărĭască domnia lor tiranică, temêndu-se de nesiguranţa timpuluĭ. Acésta, cum se pare, o disputaŭ arĕtat părutiĭ înţelepţĭ şi cariĭ eraŭ în stare a nu se retrage la trebuinţă chĭar de la nelegĭuirĭ: că adecă demnitatea onorifică a domnieĭ s'ar potrivĭ şi acomoda numaĭ lor ca cuvenindu-li-se a parte, şi credeaŭ că le-ar fi permis de a lătra nerușinat şi a se revolta neměsurat contra tuturor celor ce raţionaŭ, că ar fi greu de admis că vitézul de maĭ 'nainte, cel de o gravitate fără sémăn, şi cu înţelepcĭune esperimentată în ale guvernămêntuluĭ să trăĭască trist în streinătate şi să se topĭască în putregĭune. pentru ca dênşiĭ să domnĭască orĭ-cum s'ar întêmpla. Decĭ, acest venin al egoismuluĭ şi al invidieĭ ce-'l însoţeşte, revĕrsându-se asupra ómenilor şi viclénul farmec al unuĭa răpind făţiş drepturile, ĭar al celeĭ-l-alte distrugând pe furiş datoriele, şi sumeţinduse întru atâta contra acestora, în cât urîtorĭĭ de D-ḑeŭ aceĭa, pe lângă că prădaŭ ţara ce le căḑuse în mânĭ strîngênd banĭ cu sila, apoĭ făcêndu-şĭ plăcere în urmărirea dupre putinţă a faptelor nefericituluĭ domnitor şi în agitaţiunea viclénă despre aceste şi luând virtutea ca o escitare a ureĭ lor, preste alte multe, la urmă uneltiră ca el să fie deportat ca exilat în insula amintită, depărtându-l cu totul de la casa sa. Decĭ în acest loc, firea sa deprinsă fiind acum cu neîntrerupta succesiune a supărărilor, şi întru cât-va prin esperienţă căpătând o învĕrtoşare şi resistenţă contra restriştelor, de óre-ce de mult acum cu curagĭŭ se îndatinasă a persista în nenorocirĭ, Erouluĭ rîdicându-se cu mintea mai pre sus de sĕlbătăcia sórteĭ, prin meditarea în cele divine, şi prin ocuparea cu literile, se întrarmă ĭarăşĭ cu armătura filosofieĭ, primind peripeţiele omeneştĭ şi îndurându-le de o potrivă. cu judecată pacientă bucuros îmbrăţoşa cele ce era cu neputinţă de evitat.

Decĭ prin o atare irupţiune a relelor băntuitóre se ruinâ strălucirea şi frumseţa înfloriteĭ nóstre fericirĭ, maĭ ales că de şépte

τοῦ δε ἐν κακουχίᾳ προσαναλώσαντες τὴν ἀρίδακρυν ἐπιτρέχομεν, κήδεσι συζῶντες, καὶ ὡσανεὶ ποντίῳ σάλῳ προκαλινδούμενοι, τῇ δε κἀκεῖσε διαπεραιούμεθα, ἐς ἂν τὸ θεῖον ἡμῖν τἀπίχειρα τῆς καρτερίας, καὶ γέρα τὴν ἐκεχειρίαν καὶ ἀνεσώδυνον γαλήνην ἀντιδωρήσεται ἐκδυσωπούμενον.

Εἴωθε μὲν γὰρ ἡ τοῦ θεοῦ εἰ καὶ ἀδέκαστος δίκη τῷ συμπαρομαρτοῦντι ἀφάτῳ ἐλέει ἀντιταλαντεύεσθαι, καὶ οὕσπερ πρὸς τὸ συνιέναι ἐκπαιδεύουσα πλήττει καὶ τιμωρεῖ οὐ μὴ ἐς ὄλεθρον ὁλοσχερῶς ἀνελέσθαι· τὸ ἀνθρώπινον γένος παντοίῳ παραπεφυκὼς ἀνομήματι ὑδάτων ἀβύσσῳ κατέκλυσεν, ἀλλὰ Νῶε καὶ τοὺς παῖδας συνετηρήσατο τὸ καταπωθὲν σπέρμα τῶν βρωτῶν ἀναστήσοντας, ἀπημπόληται οἰκτρῶς τοῖς κατεζηλοκόσιν ἀδελφοῖς τὸ ἄμαχον κάλλος τοῦ Ἰωσήφ, ἀλλὰ τοῦτον ὁ τοῦ θεοῦ ἀνεξιχνίαστος πλοῦτος τῆς Φαραωνίτιδος ἐν Αἰγύπτῳ ἀρχῆς δυνάστην προεξελέξατο καὶ ἀρχηγέτην· τό πικρὸν πῶμα τῆς αἰγυπτιακῆς δουλείας παρὰ Φαραῷ ἀρυσάμενος Ισραὴλ, ἐς τὸ τῆς θαλάσσης ἐμβατεύσας ἀδιεξόδευτον ἀβρόχοις ποσὶ προαγαγόντος Μοσέως διεπεραιώθη τῆς ἐρυθρᾶς, καὶ τὴν αἰγυπτίαν ἀποφυγὼν τυρανίδα, οὐρανίῳ ἐν ἐρήμῳ ἐπισιτιζόμενος μάννᾳ, καὶ ὕδατι πέτρας ἀναβλύζοντι καταψυχόμενος, νεφέλης τε διαυγαζούσης τε φωτὶ, γῆν ἀνεμετρήσατο τῆς ἐπαγγελίας. Δαβὶδ τὸν ἀναπτύσσοντα προφέτην, καὶ παρηβῶντα, σθένει τῶν πολεμίων καὶ διωγμοῖς ἀστόργως ἀντιμαχομένου υἱοῦ, ἤδη κεκμηκότα καὶ ἀπαυδήσαντα, θεία τις δύναμις ὑπερφυῶς προσπαλαίουσα πάσης ἀπηλλάξατο δυσμενείας. Ἑβραίους ὑπὸ Ἀσσυρίων ζωγρηθέντας, καὶ τὴν χαλεπωτέραν ὑπεισελθόντας αἰχμαλωσίαν Αἰσθὴρ ἡ τῷ κρατοῦντι ἐπέραστος τῆς τοῦ θεοῦ συμαχίας ὄργανον γεγονυῖα, καὶ τοῦ δυνάστου τὸ τραχὺ ἀποξέσασα τῆς ταλαιπωρίας, ᾗ ἐμπέπαρται ἡ πληθὺς τῇ τοῦ Αμαν ἀναιρέσει σθεναρῶς ἀπηλευθερώσατο. Ἑβραίων αὖ παῖδας παρακμάζοντας τὴν βασιλείαν ἐπὶ τοῦ Ναβουχοδονόσορ, καὶ μάλα τὴν πολιορκίαν ἐπὶ ξυροῦ ἀκμῆς ἱσταμένους, θείῳ πως βουλήματι ἡ μὲν ὀξεῖα ὑπιδέσθαι καὶ ἀντιάνειρε Ἰουδὴθ τὴν Ὁλοφέρνειον ἀποτεμοῦσα κεφαλὴν ἐς ἀπροσδόκητον ἀντεισήγαγε σωτηρίαν· Βασιλεῖ Ἰουδαίων νόσῳ πάνυ κατεσχημένῳ, καὶ δῆθεν συνημμένως θανάτῳ προσομιλοῦντι θεὸς ἐκλιπαρούμενος χρόνον συμπαρατείνει ζωῆς εἰς ἀνάνηψιν· Κύρου Βαβυλῶνος ἀρχὴν ἀνατρέψαντος ἰσραηλίτην λάον τοῦ ἑβδομηκοντερίου ζυγοῦ τίς ἄν, ἀλλ' ἢ θέος ἐπὶ προπάτορσιν ἀπογόνους οἰκτείρας ἀνασπάσας ἐρύσαιτο; οὗτος γὰρ καὶ Δανιὴλ ἀνέπαφον λίχνων λεόντων βορᾶς ἀδδηφάγου ἀπέστησε, καὶ πυριφλέκτου καμίνου καταναλίσκουσαν δύναμιν τριῶν παίδων ἀ-

anĭ până acum petrecênd în miserie, mergem în calea cea plină de lacrimĭ, trăind cu grije și ca și cum restogoliți în talazul măreĭ, suntem purtați în cóce și încolo, până ce divinitatea îmblânzită ne va redărui resplata răbdăreĭ și ca premiĭ repausul și liniștea cea alinătóre de durerĭ.

In adevĕr dreptatea luĭ D-ḑeŭ de și nepărtinitóre, în genere se contra-cumpănește de nespusa luĭ milă, ce de aprópe o însoțește și nu dărâmă cu totul în peire pre ceĭ ce-'ĭ bate spre învĕțare, și-'ĭ pedepsește spre înțelepțire. Așa pre genul omenesc cel crescut cu tot felĭul de nelegĭuire l'a cofundat în adêncul apelor, dar a conservat pre Noe și fiiĭ luĭ spre a rîdica semênța ómenilor cea înnecată; s'a vêndut miser de frațiĭ ceĭ pismătarețĭ frumusețа cea neînvinsă a luĭ Iosif, dar bogăția cea neurmărită a luĭ D-ḑeŭ l'a ales de principe și guvernator împĕrățieĭ Faraonice din Egipt. Israil bênd paharul cel amar al robieĭ Egiptene la Faraon, și mergênd cu picĭóre neudate pre calea cea neîmblată a măreĭ sub conducerea luĭ Moise, trecu marea Roșie și scăpând de tirania egipténă, nutrit în deșert cu mană ceréscă, rĕcorit cu apă isvorită din pétră, și iluminat cu nuor de lumină, în fine obținu pămêntul promisiuneĭ. Pre David profetul cel deslușit de și îmbătrânit, acum slăbit și obosit de puterea inamicilor și de persecuțiele fiĭuluĭ, ce dușmănește lupta contra luĭ, o putere divină luptând pentru el minunat l'a scăpat de tótă dușmănia. Pre Ebreiĭ robițĭ de Asirienĭ, și intrațĭ sub o captivitate încă maĭ cumplită, Estera, socia prea ĭubită a împĕratuluĭ devenind instrumentul ajutoruluĭ luĭ D-ḑeŭ, și înblănḑind asprimea Stĕpânitoruluĭ, îĭ eliberă puternic, prin mórtea luĭ Aman, de terórea ce pătrunsă mulțimea poporuluĭ. Pre descendințiĭ Ebreilor, slăbițĭ în privirea regatuluĭ, în timpul luĭ Nabucodonosor, dar susținênd vêrtos asediul până la ascuțitul sabieĭ, prin o voință divină Iudita cea bărbătósă și ageră la vedere tăind capul luĭ Olofern, îĭ adusă la o salvare neașteptată. Regeluĭ Iudeilor cuprins tare de bólă și acum în raport de aprópe cu mórtea, D-ḑeŭ după ruga luĭ îĭ prelungește timpul vieței spre revenirea în sine. Sub Ciru, cel ce a distrus împĕrăția Babilonuluĭ, cine óre altul de nu D-ḑeŭ, scoțênd de sub jugul de șépte-ḑecĭ de anĭ, a mân-

πήλασεν· Οὕτω τοίνυν φιλεῖ Θεὸς τῶν αὐτοῦ τραυματιῶν ἀντιλαμβάνεσθαι, καὶ ἡ βαλοῦσα αὐτοῦ χεὶρ τῆς παρ' ἑαυτῆς ἐγχαραχθείσης πληγῆς ἀντιποιουμένη, τὸ ἄκος ἀντεισφέρει τῇ σηπεδόνι φάρμακον ἀνερμηνεύτως ἐναποτυποῦσα, καὶ αὐτοσχέδιον τὴν θεραπείαν ἀπαραλείπτως ἐπιπροσάγουσα.

Τὸν νόμον πρὸς γε περιαθροοῦντι τῆς χάριτος τῆς ἀρχαίας σκιᾶς τὸν ἐκφάντορα, τὴν σφραγίδα τοῦ πανσόφου βουλήματος μηδέν μοι ἄλλο ἀντικρὺ προσαντᾷ ἐμφανέστερα διευκρινούμενον, ὅτι μὴ τῆς ἀπείρου καὶ ἀκατελήπτου (ἐς οἶκτον γὰρ τὸ θεῖον εὐάγωγον) ἐπὶ τοὺς κατ' ἄμφω ἐν δυσπραγίᾳ κάμνοντας ἀγαθότητος καὶ φιλανθρωπίας τὰ ἐναργέστατα σύμ(εἶα) ὁ θεῖος μὲν γὰρ καὶ ἔνσαρκος λόγος τοῦ θεοῦ καὶ πατρὸς, τὸ συναΐδιον φῶς καὶ ἀπαύγασμα παρ' ὅλην αὐτοῦ τὴν ἐν τῇ ἐπεκδημίᾳ τῆς σαρκὸς ἀκατανόητον ἐπὶ γῆς ἐνδιαίτησιν, τὴν ἐπὶ πάντας ἀνεξάντλητον πηγὴν, ἄρδην κατέχει τοῦ ἐλέους καὶ τῶν χαρίτων· πρὸς γὰρ τῷ πραγματεύσασθαι τῆς πεπτωκυίας φύσεως τὴν ἀνάκλησιν, καὶ μέλη παραλυτικῶν χαλασθέντα καὶ παρειμένα ἐμπεπέδωκε, τυφλώττουσί γε τὴν ὄψιν προσεδωρήσατο, καὶ δι' αὐτοῦ τεθνεῶτες ἠγέρθησαν, ὅμιλος καμνόντων ἀνέσφηλε, πόρναι, τελῶναι, λησταὶ τὰ τῆς ἁμαρτίας ἀνδράποδα, ἀθανάτου μονῆς ὑπερόλβιοι γεγονασιν ἄποικοι· ὡ σάυτως δὴ καὶ ἀποστόλων συλλόγου, πατέρων δὲ χορείας, μαρτύρων καὶ ὁμολογητῶν, καὶ ἐκκλησίας ὑπάσης τουτὶ μὲν τὸ φιλοπονούμενον ἔργον, τουτὶ δὲ τὸ μεγάλαυχον ἀνδραγάθημα, τῶν δεινῶν δὴπουθεν ἀνακουφίσαι τὰ ἐμβριθῆ καὶ κατασκήψαντα τῶν ἀνιαρῶν ἐφορμήματα, ἀρωγὴν τοῖς ἀπειρηκόσι προθέσθαι, καὶ μαγγανείας ἀπελᾶσαι ἐπιῤῥεόντων κακῶν· ταῦτα δὲ ἄντικρυς ἐν παντὶ γέγονε χρόνῳ, καὶ ἀνεφάνη λαμπρῶς, ᾗ γὰρ ἄν, τὸ πρόστιμον τοῦ δεινοῦ ὀντινοῦν προκατεβάλετο, ἐκεῖ καὶ τῆς τοῦ θεοῦ ἀντιλήψεως ἡ ἀντεπεμβαλλουσα δύναμις, τὸ νηπενθὲς δηλαδὴ καὶ λυσώδυνον ἴαμα συμπροσάγουσα τὴν ἀλγηδόνα ἐσκέδασε, καὶ τὸ τραῦμα ἠκέσατο· τουτοὶ μὲν τοι καὶ ἐθνικοῖς πάλαι διατετηρῆσθαι ἑωράκαμεν, οὓς καί περ τῷ ζόφῳ τῆς νεμεσητῆς καὶ στυγερᾶς εἰδωλομανίας τυφλώττοντας, τῇ τῶν αὐτοῖς ὀνειροπολουμένων θεῶν προστασίᾳ ἀποχρώντως ἴσμεν τεθαῤῥηκότως· διὸ καὶ τῶν ἐπικειμένων κακῶν, ἤ καὶ ἤδη καταῤῥαγέντων, τὴν θεραπείαν ἀναμαστεύοντες, ἐν ναοῖς πρὸς γε τοῖς βωμοῖς ἐνασχολούμενοι ταῖς εὐχαῖς ἀπετροπιάζοντο τὰ δεινὰ, χρηtuit pre poporul Israelit, îndurându-se de urmașĭ pentru străbunĭ. Tot acesta feri pe Daniil neatins de mâncarea lacomă a leilor celor flămânzĭ; și îndepărtă de la ceĭ treĭ tinerĭ puterea consumătóre a cuptoruluĭ celuĭ înfocat. Decĭ așa voește D-ḍeŭ a ajutori pre rănițiĭ sĕĭ, și mâna luĭ cea lovitóre, cercetând rana causată de dênsa, întroduce medicamentul în putregĭune, aplicându-ĭ neesplicabil leacul, și aducând apoĭ numaĭ de cât curênda vindecare.

Maĭ departe, voind a espune legea haruluĭ, deslușitórea umbreĭ vechĭ, nimic alta nu-'mĭ vine înainte spre a mĭ lămuri maĭ clar sigilul sfatuluĭ celuĭ a tot-înțelept, ca semnile cele maĭ evidente ale ĭubireĭ de ómenĭ și ale bunătățeĭ ceĭ nemărginite și neînțelésă (că divinitatea este plecată spre milă) asupra celor căḍuțĭ în nefericire în ambele priviriĭ. Căcĭ Cuvêntul cel divin și încărnat a luĭ D-ḍeŭ și părinteluĭ, lumina și splendórea cea eternă, în tot traĭul luĭ cel neînțeles pe pământ, în viața corporală, revărsâ cu totul preste toțĭ sorgintea cea nesecată a mileĭ și a grațielor. Căcĭ, pe lângă că a făptuit rechĭemarea fireĭ ceĭ căḍute, a întărit membrele slabe și infirme ale paraliticilor, a dăruit vedere orbilor, și prin el s'aŭ sculat morțiĭ, mulțime de bolnavĭ s'aŭ însănătoșat, curve, vameșĭ, tălharĭ,— sclavĭ aĭ păcatuluĭ, s'aŭ făcut prea fericiți coloniștĭ aĭ locuințeĭ ceĭ neperitóre. De aseminea acéstă operă lucrată de colegiul apostolilor, de céta părinților, de martirĭ, de mărturisitorĭ, și de tótă Biserica, și acéstă isbândire de mare falĕ, adecă: a ușura pornirele grele ale rĕutăților, motivele asupritóre ale supĕrărilor, a propune ajutor desperaților și interi înșelăcĭunele relelor inundatóre. Acestea fățis avură loc în orĭ-ce timp, și s'a arĕtat luminos, că orĭ-unde s'ar lovi [59]) maĭ nainte rĕul cu o pedépsă óre-care, acolo și puterea intervenitóre a ajutoruluĭ luĭ D-ḍeŭ, aducênd leacul cel nedureros și alinător, împrăștie durerea și vindecă rana. Acésta vedem că și din vechime s'a observat încă de păgânĭ, cariĭ deși eraŭ orbiți de întunericul uriteĭ și abjecteĭ idololatriĭ, îĭ știm că în destul se încredeaŭ protecțieĭ ḍeilor închipuiți de dênșiĭ. Pentru care căutând vindecare relelor ce-ĭ amenințaŭ, orĭ care acum îĭ și lovisă, speraŭ a se scuti de calamități dedându-se la rugĭ în temple și maĭ ales la

στηρίοις τε καὶ χρησμοῖς, Θεσπρωτοῖς τε καὶ χρησμολόγοις ἐς τὴν τούτων ἐχρῶντο ἀποσκοράκισιν· τούτου δ' ἕνεκα καὶ ἀποτρόπαιοι παρ' ἕλλήσι, καὶ ἀλεξίκακοι καὶ ἀποπομπαῖοι, ὡσανεὶ τῆς αὐτοῖς λυπηροῖς συμμαχίας οὐκ ἀφιῶς ἔχοντες, οἱ πλείους τῶν Θεῶν προσεκλήθησαν.

Ἐπεὶ οὖν τῷ τοῦ ἀνθρωπίνου βίου ἱστῷ οὕτωπως πέφυκε χαλεπὰ κυκᾶσθαι τερπνοῖς, καὶ ἥδιστα λυπηροῖς ἀμοιβαδὸν συμπερυφαίνεσθαι καὶ ἀναμεμίχθαι, καὶ μηδαπῶς πη, εἴγε ἐνιαχοῦ δεινῶν ἐμβολὴ συμβαίη πεσοῦσα, προσβάλλον ἀτύχημα γίγνεται, ὅ μὴ ἐπικουροῦσα καὶ ἀλεξίκακος ἀποτρέψειε πρόνοια, καὶ τὰ ἡμέτερα ἄρα κἂν δεινότητι ἀργαλέα καὶ πολυώδυνα ἐς ἀμείνω μεταβησόμενα δόξειε ἂν ἐξεῖναι προκαταγγέλλεσθαι, οὐ γὰρ ἀποκέκμηκε λειψυδρία τῶν Θείων οἰκτιρμῶν καὶ ναμάτων ἡ ἀκάματος καὶ ἀένναος πηγή, οὐ δὲ πως ἐπάυσατο συμπαθείας ῥεῖθρα προχέουσα, καὶ πολυχεύμονα τὸν ῥοῦν, καὶ προσκαταλύζοντα ἀναβρύουσα· εἴθε ἄρα καὶ ἡμῖν ὁ ἀκένωτος οὗτος καὶ ὑπερμεγέθης θησαυρὸς ἐκ τῶν ἐν παραβύστῳ κειμένων δωρεῶν ἀνακούφισμα προσχαρίσαιτο τῶν ἐπικρατούντων δεινῶν, καὶ ἀμηγέπη δώη τοῖς δυστυχοῦσι τὸ εἰδεχθὲς καὶ ῥωγαλέον ἀνακαινίσασθαι περιβόλαιον, ἡμᾶς τε τῇ ἀμάχῳ πάνυ ἐπερειδομένους ἰσχύϊ τὴν μέλαιναν νεφέλην ἀποσκεδάσασθαι, καὶ τῇ τῆς εὐδίας ἐπελεύσει τὴν γαληναίαν εἰσπνεῖν, καὶ μειλιχίαν αὔραν τῆς εὐμοιρίας.

ᾳψνζ. Καὶ μέντοι γε οὖν ἐπὶ ναυαγίᾳ ὑπὲρ τῶν ὅλων κύδους ἀναῤῥιπτοῦντες, καὶ εὐέλπιδες ἅμα τῷ λιμένι τῆς Θείας φρουρᾶς προσνέοντες, ἀθρόως ὥσπερ ἄνωθεν περισθενοῦς ἀρωγῆς, διερρωγότος τοῦ νέφους, καὶ ἀποσκεδασθέντος, αἰθρίας τε ἐπιγενομένης, τὸν οὔριον αὖ πλοῦν μετειληχότες τοῦ γαληνιῶντος ἐπελαβόμεθα ὅρμου.

Τοιγαροῦν Θεοῦ κατὰ παροιμίαν φάναι, ὥσπερ ἀπὸ μηχανῆς ἐπιφανέντος, ὁ ἐν μόχθοις ἀριστεύσας, καὶ τὸ στερρὸν κληρωσάμενος ἔθναρχος, ἀρτιφυοῦς καὶ λαμπροῦ ψηφίσματος τὸν ὀστρακισμὸν ἤδη ἀνατρεψαμένου, καὶ τῇ κατὰ ἀντίῤῥοπον δύναμιν τοῦ βασιλείου ἐπιτάγματος ἀντιπαραθέσει τοῦ διωγμοῦ συνθλασθέντος τῶν ἀντιμάχων φαιδρῶς ἐπὶ Βυζαντίου προκύψας ἀφίκετο, καὶ δίμηνος ἐκεῖσε ἠρέμα παρεξιὼν ἐς τὴν τῶν Βλάχων κλεινῶς προκεκήρυκται, καὶ ἄλλοτε μητρυίην, ὥς γε ἄντις εἴποι, πέλειν ἡμέραν, ἄλλοτε μετέρα τῇ δεινοπαθείᾳ ὑπαινιξάμενος, ἅπερ προὔκειτο ἐπαθλα τῆς πολυτλήμονος καρτερίας τὸ τῆς ἀρχῆς λαμπρὸν

altare, și se serviaŭ pentru îndepărtarea lor de oracului și profetisme, de profeți și de esplicătorĭ de oracule. Pentru acésta ceĭ maĭ mulți dintre Dei fură numiți de Eleni, înlăturătorĭ, respingĕtorĭ de rele și îndepărtătorĭ, ca și cum n'ar fi necapabilĭ de ajutor în întristărĭ.

Decĭ, de óre-ce în urzirea vieței omenești firește cam așa se amestecă supărările cu veseliele, și pe rând se țese și confundă plăcerile cu întristările, și nicăirĭ nu are loc vre-o nenorocire supărătóre, (de s'ar întêmpla a cădea unde-va vre-o împilare de adversități), pre care n'ar înlătura-o providența cea ajutătóre și respingĕtóre de rele; de aceea póte și sórta nóstră, deși cumplit de grea și durerósă, nu mi s'ar părea imposibil a o anunța de maĭ nainte că se va strămuta în spre maĭ bine. Căcĭ sorgintea cea nesecată și deapururea a divinilor îndurărĭ n'a contenit din lipsa de ape, și nicĭ-cum n'a încetat a revărsa curente de compătimire, și a isvori un rîŭ abondent și revărsător. Fie dar ca acest tesaur prea mare și nedeșertat să ne dăruiască și nouĕ din darurile cele tăĭnuite, ușurare de adversitățile împilătóre, și măcar întru câtva să permită celor nenorociți a-și renoi vesmêntul cel uricĭos și rupt, să împrăștie de la noĭ, ceĭ ce ne încredem tare în puterea cea neînvinsă, nŭorul cel negru, și să inspirăm cu sosirea alinăreĭ, lina și dulcea adiere a fericireĭ.

(1757). Între aceste aruncându-ne în pericul estrem de înnecare și tot-o-dată cu bune speranțe plutind la portul divineĭ supravegherĭ, de-o-dată, o prea puternic ajutor de sus! desfăcêndu-se și împrăștiindu-se nŭorul, se arătâ seninul, și noĭ avênd parte ĭarăși de plutire favorabilă, întrarăm în portul cel liniștit.

În urmare, cum ḑice proverbul: apucând pre D-ḑeŭ [60]) de picĭóre, principele némuluĭ nostru, cel ce escelasă în necasurĭ, și avea de moștenire statornicia, vesel arătându-se sosi în Bizant, după ce se redică ostracismul prin un noŭ decret strălucit, și persecuția adversarilor se nimici de opunerea putereĭ contrapusă a ordinuluĭ împĕrătesc; apoĭ petrecênd acolo în liniște douĕ lunĭ, cu strălucire fu proclamat domnitor Valahilor, și din causa releĭ suferințĭ venind la ideea, cum ar ḑice cine-va, că o ḑi ĭĭ este ca maștihă (vitrigă), ĭar alta ca mamă, se încunună cu stema

ἀνεδήσατο στέμμα, καὶ δόξης περιβέβληται τὴν ἁλουργίδα· ἐνταυθὶ τοίνυν αὐτοῦ τά νῦν πρυτανεύοντος, τῇ κατ' ἔμπεδον λόγον προεμφανείσῃ βουλῇ, τάγε παρηκμακότα δεινὰ χάριτι πρὸς τοὺς τῶν λυπηρῶν αὐτουργοὺς, καὶ εὐτραπελίᾳ ἀντιπελαργοῦντος, τὸ τῆς Ἀμαλθίας ἥδη προχεῖται ἀφθονώτατα κέρας, καὶ τῆς δυσημερίας ἐξηλλαγμένης, ὑπο θέμιδος στάθμῃ, καὶ ἔμφρονι λόγῳ ἀγαθῶν μυρμηκιὰ πάνυ τοι ἑκασταχόθι περιέστη τοῦ χώρου.

Καὶ τοι γε τοῦ τηνικαῦτα ἐνόντος πολιτεύματος τὸ διοίκημα, καὶ περ πολλῷ τῷ μέτρῳ δεινοτέροις ἀτυχήμασι περιπεσὸν, κἂν ἔδοξε, μικροῦ δεῖν, τῇ προγεγονυίᾳ τρυχώσει τῆς ὑπὸ τῶν προαρξάντων καταβαλομένης χώρας ὑποκραδαίνεσθαι, ἀλλὰ γε μὴν τῇ στιβαρᾷ ἐμβριθείᾳ τοῦ πολιτευομένου δυνάστου ἀμηγέπως ἀντερήρεισται καὶ προσεπάγη· καὶ γὰρ φθάσασα στάσις συνταραττωμένου τοῦ δήμου, καὶ ὄγκος δημωσίων τελῶν ἐπαχθέστερος ἀφ' ἑτέρας ἀρχῆς πρὸ ἐτῶν διαθορυβήσας τοὺς ὄχλους, ἄρτι ἀναπολούμενα Ἡράκλειον ὅσον οὔπω τῷ διέποντι προὐβάλετο τὸν ἀγῶνα, τὸ πρόσαντες παρασημήναντα τῆς ἀνυθησομένης ὁδοῦ, καὶ δεῖν εἶναι, αὐγίου σταθμὸν, ὡς εἰπεῖν, ἐκκαθάραι, καὶ συκοκορεῖν παραδεικνῦντα· οὐ μέντοι γε οὖν τοῦ λήματος ἐπὶ τούτοις κατα πλαγέντος, αὐτίκα ἐπεχείρει τοῖς οἷαξι ἀπρὶξ ἀντεχόμενος, κἀκεῖνον εἰς καὶ πολύῤῥοθον τὸν πλοῦν, καὶ ἀκροσφαλῆ διαπορθμεῦσαι, κόπαις γε ἅμα. ὡς ἔπος, καὶ ἱστίοις διατεινόμενος.

Καὶ μὴν λοιμοῦ γε τέως περὶ τὴν ἄφιξιν τοῦ κρατοῦντος συγκαταλαβόντος τὴν χώραν, καὶ πονήρως τὰ πλήθη διασπαράττοντος (τῶν ἐν ἄστει δυσχερῶν τουτὶ τὸ μέγιστον καὶ μάλα δυσκαταγώνιστον) ἅτε δὴ τοὐντεῦθεν ἀπειργομένης τῆς συναφείας, οὐ μετρίως διακεκώ υται τὸ πολίτευμα, καὶ τὰ πάντα κατήργηται, ὡς ἐπὶ πολὺ τοὺς ἀμφὶ τὸν ἡγεμόνα ἐν σκηναῖς διαιτᾶσθαι ἀγραυλοῦντας, καὶ δήπου νύκτωρ καὶ μεθ' ἡμέραν τοῦ πρωτίστου ἔργου τῆς δίκης ἀφισταμένους, τὸν τῆς νόσου σκηπτὸν καὶ πυρίφλεκτον ὄλεθρον πάνυ πως δεδιέναι· μετὰ δὲ ταῦτα καιροῦ γε παραμείψαντος, τῇ τοῦ Θείου ἐπαρωγῇ, ἀθρόον μὲν τὸ ἐπιπολλάζον λοιμῶδες ἐσκέδασται, καὶ τῇ ἐπὶ τὸ κρεῖττον μεταβολῇ, τὸ εὔδιον ὑπεφάνη καὶ εὐκραὲς καὶ δῆθεν τὰ διασπαρέντα ἠρέμα ἐς ῥυμὸν συνεστάλη, τάτε ἀπηγορευκότα ἀνερρώνυμενα εἰς τὴν προτέραν μετήνεκται ἰσχὺν καὶ ἐμμέλειαν.

Τῆς πολιτικῆς τοιγαροῦν ἐργασίας ἐπιδραξάμεcea strălucită a domniei, și se investi cu porfira gloriei, care îi prestaŭ ca remunerațiuni ale mult suferitórei pacienți. Domnind decĭ acum aicĭ, prin chibzuirea de maĭ nainte cunoscută a rațiuneĭ ceĭ solide, resplătește suferințele trecute cu favóre și grațiositate către causătorii acestor supĕrări, și așa revarsă cu prisos cornul Amaltieĭ (abondenței), și prin cumpĕna dreptățeĭ și sfatul celuĭ înțelept schimbându-se starea cea rea, se respêndi maĭ pretutindenea în țéra un furnicar de bunĕtăți.

De și guvernamêntul statuluĭ de atuncĭ căḍusă în desordinĭ peste mĕsură cumplite, în cât părea că puțin lipsea a nu se surpa țara fiind dărâmată de strivirea anterióră a domnilor precedenți, totuși întru cât-va se sprijini, și consolidâ prin gravitatea fermă a domnitoruluĭ administrător. Căcĭ o rescólă precedentă a poporuluĭ turburat, și o sarcină de dări publice maĭ grea din ceea-l-altă domnie, de maĭ nainte frământând populațiele; acum din noŭ repețindu-se, făcu ca munca Domnitoruluĭ să fie maĭ ca a luĭ Ercul preînsemnându-ĭ ce cale grea avea de suit, și arătându-ĭ că era nevoe, așa ḍicênd, de a curăți staulul luĭ Augia și a mĕtura tărle de oĭ [61]). Dar curagĭul luĭ nu se spăriâ de aceste, și strîns apucând cârmele, întreprinsă a scóte la capĕt și acea navigare, de și mult sgomotósă și periculósă, întinḍênd într'un cuvênt,de o-datá vĕslele și vĕntrelele.

Intre acestea, încă de la sosirea domnuluĭ țara fu cuprinsă de Cĭumă, care cumplit prăpădea mulțimea poporuluĭ, (acesta însĕ este rĕul cel maĭ mare și maĭ greŭ de învins pentru ceĭ din oraș); apoĭ fiind-că din acéstă causă s'a întrerupt comunicația, nu puțin administrația fu împedicată, și tóte se paralisară, căcĭ, fórte temêndu se de trăsnetul bóleĭ și de perirea cea înfocată, princepele cu aĭ sĕĭ petreceaŭ maĭ mult la câmp în corturĭ, și dar nóptea și ḍiua se abștinéŭ de la lucrul cel maĭ principal al justițieĭ. După acestea, schimbându-se timpul, cu ajutorul luĭ D-ḍeŭ, să împrăscia cu totul cĭuma cea bântuitóre, și cu prefacerea spre maĭ bine, se arătă alinare și însănătoșare, și prin urmare, ceĭ împrăsciați încet se strinseră de la locul lor, și ceĭ descuragĭați reîntărindu-se revenirá la puterea și ordinea de maĭ nainte.

Maĭ departe, principele apucându-se de

νος ὁ ἀρχηγέτης, καὶ παμμεγέσι κακοῖς ἀντιπαραβαλόμενος, ἐς σκάμματα κατηνέχθη παλαίων· ὅτε γοῦν καὶ τὸ σύντονον ἐπιτείνας τῆς γνώμης, καὶ τὴν διάνοιαν ἀναπετάσας, τὰ πάλαι δὴ προφύντα κακὰ ἀνεσπακε πρόῤῥιζα, καὶ τὰς ἀντικειμένας ἀπανταχῇ προσβολὰς χειρωσάμενος τὴν αἰθρίαν ἀντεισήγαγε καὶ ῥαστώνην· καὶ μέντοι τὰ θεῖα καὶ ἱερὰ ἀνέκαθεν δι' ἐπιστροφῆς ἔχων, καὶ περὶ αὐτὰ ἐπιεικῶς προθυμούμενος μηδ' ὅπως οὖν ἔλαθεν ὅλως τῇ εὐρυθμίᾳ αὐτῶν, καὶ στερρότητι προσγενόμενος, τὰ περὶ τούτων καθήκοντα ἀείπου ὑφηγησάμενος καὶ παρακελεύσας· ἐπὶ τούτοις μὲν οὖν τοῖς γε περὶ τὴν πολιτείαν σπουδαίως ἐγκατασχολούμενος, προσόδων τε καὶ τελῶν μεταριθμήσεις, βασιλείων ἐπιταγμάτων ἐξεργασίας, ἀνορᾶς πρὸς ἀστικὸν κάλλος, καὶ ἐμπόρων διατάξεις, ἡδόντων μουσεῖα, καὶ ἅπαξ ἅπασαν τοῦ καθεστῶτος καιροῦ τὴν συναρμογὴν, καὶ τοῖς χρείαις συνάδουσαν εὐταξίαν διετέλει φιλοτιμούμενος, ἐς ἂν διετίαν μὲν ὧδε πως, καὶ ἐπέκεινα ἐπὶ τῆς δεσποτίας παρελήλακὸς, εἶτα δὲ ὑπὸ θορύβου τῶν ἀπὸ Κραγιόβης στάσει αὐτομολούντων, καὶ ἐνίων ἐπιστολῶν ἀπόῤῥητά τινα ἐξοχουμένων τῷ βασιλεῖ, ἄφνω τῆς ἀρχῆς ἀποσειόμενος, καὶ τὴν ἐπὶ τῆς πατρίδος κάθοδον ἐπὶ τὰ ἀνάκτορα διανύσας, αὖ πάλιν ὑπὸ χρεῶν, καὶ δανείων τῇ εἰρκτῇ ἀνιαρῶς καθυποβέβληται.

ἄφνη. Ἀμέλει γοῦν ἐντούτῳ καιροῦ τῆς κατὰ τύχην φαύλης παιδιᾶς, καὶ αὐτομάτου περιπετείας ταὐτὶ τὰ ἀθύρματα τὸ πεπρωμένον ἐξέφηνε· καὶ γὰρ τὸ τῆς τύχης ἀμφιῤῥεπὲς, καὶ παλίμβολον προσεξείκασται ῥεύμασι ἄμπωτιν παλινδρομούσης θαλάσσης, καὶ πλάστυγξι τρυτάνης παρέοικε, ὑπὸ φυσήματι ἀνέμου κενεμβατούσαις, καὶ παλλομέναις ἀστάτως, ἔνθα δόξῃ τῷ πνεύματι· ἐνθέντοι τοίνυν οἱάπου ἐπὶ τοῖς ἀνθρωπίνοις εἴωθε πλειστάκις ἀναμοχλεύεσθαι τὰ ἑδράσματα, τῶν κατὰ βίον Πρωτέως δίκην μεταλλαγμένων, καὶ τῇ δὲ πάντως εὖ μᾶλα τουτωνὶ ὑπὸ τῇ ὠθομανικῇ ἀρχῇ ῥάστα περιτραπέντων, ἅμα τῇ ἀπαλλαγῇ τοῦ δυνάστου, τὴν ἡνιοχίαν κλεινῶς διεδέξατο, ὅ γε τῆς Μολδάβων πρύτανις Σκαρλάτος Γρηγορίου· ἀνὴρ μὲν ἀγαθοφυὴς, καὶ τῇ εὐμενείᾳ ἐπιεικέστατος, τὸ γε ἄχολον καὶ μειλίχιον τῆς γνώμης ἑκασταχοῦ κρατύνων, οὐ μᾶλλον δὲ τῇ μεγαλοφυΐᾳ, καὶ τῇ τῶν ἐνόντων πείρᾳ· ἀρτίτοκος γὰρ ἐν ἡγεμόσι, διανεμόμενος τὰ πηδάλια, ἢ τῷ πειθήνιον αὐτὸν τυγχάνειν γε ὄντα, καὶ μάλα δήπου εὐάγωγον τοῖς ἀτρακέως ὑποτιθεμένοις τὰ δέοντα· ταύτῃ τοίνυν προσηνεστάτην μὲν τὴν φυὴν, καὶ πραεῖαν μετειληχὼς (ὅπου γε καὶ οὐ πάνυ εὐμαρῶς τὸ ἥπιον

activitatea politică și măsurându-se cu relele cele fórte marĭ, se pogorî la luptă pe teren. Atuncĭ decĭ întinḑându-și puterea rațiuneĭ și desvĕlindu-și cugetarea, smulsă din rădăcină relele acum de mult crescute, și învingênd atacurile opuse luĭ de pretutindene, întroduse liniștea și înlesnire de tóte. Apoĭ avênd tot-dé-una în gând cele divine și sacre și mișcat de cuvenita ardóre pentru ele nicĭ cum nu le-a uĭtat ocupându-se fórte de buna lor rânduélă și întărire, pururea prescriind și ordonând cele cuvenite la dênsele. Peste aceste, serios ocupându-se maĭ ales cu cele ce privesc guvernul, ambiționa a se distinge continuŭ în reforme de venitурĭ și dărĭ, în executărĭ ale ordinelor împĕrătești, în facere de piețe publice spre frumseța orașuluĭ în regulamente pentru negustorĭ, în scóle pentru tinerĭ, și în genere în tótă buna întocmire pentru timpul de atuncĭ și în ordinea conformă cu trebuințele. In cât, continuându-și în așa chip domnia doĭ anĭ și maĭ bine, în urmă, din causa turburăreĭ celor ce trănsfugise după revolta din Craĭova, și a unor epistole ce destaĭnuĭaŭ niște secrete la împĕratul [62]), de o-dată este îndepărtat de la domnie, și reîntorcêndu-se în patrie la palatul princiar, ĭarăși trist fu aruncat în carceră din causa datorielor și a împrumuturilor.

(1758). Cu adevĕrat, destinul în acest timp a arĕtat aceste păpușerĭ de joc neînsemnat al sórteĭ, și de peripeție a întêmplăreĭ. Căcĭ învăluirea și nestatornicia sórteĭ se asémănă cu curentele măreĭ ce se mișcă în flux și reflux, și cu talerile cumpeneĭ ce în aer se clatină de suflarea vêntuluĭ și necontenit înclină, în cotro ar bate vêntul. De aicĭ urmă, că precum în lucrurile omenești adesa se întêmplă a se scormoli fundamentele, căcĭ cele ce privesc viața se schimbă ca Proteŭ [63]), așa în adevĕr și aicĭ prea ușor se resturnară aceste maĭ ales sub guvernul Otoman, în cât odată cu plecarea domnuluĭ, glorios primi cârma guvernatorul Moldovenilor Scarlat Grigoriu. Bărbat de la natură bun și de o blândețe fórte plăcut, întinḑênd pretutindenea nesupărăcĭunea și dulcéța caracteruluĭ sĕŭ; Iar acésta nu atâta din mărime de geniŭ și esperiența lucrurilor (că decurênd întrat între principĭ administra cârmele). pre cât pentru că s'a întêmplat a fi docil si maĭ cu samă ușor de condus de cătră ceĭ ce-ĭ esplicaŭ lămurit îndatorirele. Decĭ așa

εὕροι τις ἂν ἐπὶ τῶν κρατούντων, τῆς ἐπὶ δυνάμει ὑπερφιλοτιμίας κομιδῇ ἀναφυσώσης, καὶ ἐπὶ τὸ θυμικὸν καὶ εὐπαράφορον ὑποθηγούσης τὸ φρόνημα) ἀναλγητότερον ἢ που, καὶ προσφυῶς διευθετεῖ τὸ ἀρχόμενον.

αψλθ. Καὶ δὴ ὑπό τῇ τὴν ἀρχὴν κεκυρωκυίᾳ πρὸς ἄνακτος δέλτῳ, ἐς τριετίαν ἐμπεδοθέντος τοῦ διοικήματος, νῦν γε τὸν ἐπὶ Κραγῖδης χῶρον πρὸς ὠθομανῶν ἰᾳκεῖσε προλυμηναμένων, καὶ τὸ πᾶν ἀνακυκώντων, σχετλίως πιεζούμενόν τε καὶ τρυχωθέντα, τοῦ πασσυδίῃ ἀναῤῥύσασθαι, καὶ μεθαρμῶσι ἀντιπεποίηται· καὶ γὰρ ἀπὸ τῆς ἀνάσσης πόλεως τῇ αὐτοῦ προτροπῇ ἀφικόμενοι οἱ τοῦ ἄνακτος πρόκριτοι λειτουργο', καὶ τἀκεῖσε ἀναμαστεύσαντες ἀκριβῶς τοὺς ἀναφανδὸν ἠδικηκότας τὰ δημόσια τέλη καὶ τοῦ ὑπηκόου ἄρδην καταστρηνιάσαντας, τῇ ἀναχείρας βασιλείᾳ ἐπιταγῇ ἐντεῦθεν ἐξήλαυνον, ὥς γε καὶ τοὺς προδιαῤῥηγνυμένους ἐπιχωρίους τῆς λύμης ἀπαλλαγέντας βραχύ τι λελωφηκέναι, κἀκεῖνον τῆς ἐπιῤῥοίας τὸν συρφετὸν ἑπτακοσίαις σκευοφόροις ἁμάξαις ὅτι τάχιστα ἐκφορηθῆναι τοῦ χώρου· ἐπὶ τούτοις μὲν οὖν ἵνα ἅπας ὁ βόρβορος ἐκασταχόθι ἀποκαθαίροιται τῶν ἐς τοῦτο σταλέντων βασιλείων ὑπουργῶν καὶ περὶ τὰ τῆς κάτω Δακίας χωρία ἀφικνουμένων, οὐκ ἔλαττον τῶν ἐκεῖσε ἐπηρεαζόμενα, κῶμαι, πολύχνιά τε, καὶ ἀγροὶ ἅμα τῷ πένητι δήμῳ πάλαι που κατασυλληθέντα τοῖς λυμεῶσι, παραχρῆμα τῆς ὑπεναντίας ῥύμης ἀπήλλακται, καὶ συλλήσεως ἀπειργομένων τῶν πολεμίων.

Οὕτω τοίνυν διωκημένης περὶ τὴν ἡγεμονίαν ταύτην τῆς χώρας, ἐδόκει ἄν τὸ πολίτευμα ταῦτα γε ὑπ' ἀνδρὸς τὴν φυὴν πραέως τε καὶ ἡπίου πρυτανευόμενον, ἐν εὐρυθμίας ραστώνῃ χωρεῖν καὶ κατὰ ῥοῦν φέρεσθαι, εἰμὴ λώβης τινὸς προσεπησκηψάσης τὰ τῆς θέμιδος ἀναφανδὸν κατεπεπάτοιτο δίκαια· ἀλλὰ γοῦν ταῦτα παρημέληται καὶ ὅλως ἀποκέκρουσται τοῦ βήματος, οὐκ οἶδαμεν ὅπως, θάτερον δὲ, ἢ ὑπό τῆς τοῦ δυνάστου ἀφυΐας, καὶ ἀνειμένου φρονήματος εἰκάσειεν ἄντις ἐπὶ δικαστηρίων τὰ ἀθέμιτα παρεισβληθῆναι· πολλάκις γὰρ πραότητος ὑπὸ προσχήματι ἔστιν οὗ ὑποσκήπτουσα ἐναβρύνεται βλακεία τε καὶ νωθρότης, καὶ τῷ τῆς ἡπιότητος προσωπείῳ παρεγκεκάλυπται τὸ τῆς γνώμης εὔηθες, καὶ γε ἀτεχνῶς πραέα, καὶ εὐμενῆ φαίη τις ἂν ἄνδρα, ἄλλως γε ἀφυὴ καὶ ἀξύμβολον, ἢ ὑπὸ πλουτομανίας ἰμέρῳ τουτὶ γεγονέναι δόξειε· ἐπείπερ χρηματολόγος, καὶ τοῖς χειμηλίοις ἀενάως προστριβόμενος νοῦς, χρυσὸν

avênd parte de o natură fórte docilă și blândă, de sigur póte conduce supușiĭ potrivit natureĭ și maĭ fără asprime (maĭ ales că nu s'ar putea prea ușor afla blândeța la ceĭ ce domnesc, căcĭ ambițiunea cea prea mare a putereĭ în genere îĭ îngânfă, și le escitéză mintea spre mânie și pornire neraționată).

